[15] Con esta generalización quizás apunte a los que no ven en la actividad de Cristo más que la obra de un simple hombre, acaso inspirado, y también a los cristianos que, por desconocer las escrituras judías, no ven en Cristo al Hijo de Dios anunciado por los profetas (cf. DE 1,1). Cf. M. DE JONGE, *The earliert christian use of «Christus». Some suggestions:* New Testament Studies 32 (1986) 321-343.

[16] Cf. 1 Cor 11,3; Ef 4,15.

vación se revistió del hombre, pasible como nosotros mismos [17]—, nuestra exposición de lo que va a seguir será perfecta si iniciamos el discurso de toda su historia partiendo de los puntos más capitales y dominantes. Y de este modo, la antigüedad y carácter divino de los cristianos quedará también patente a los ojos de los que piensan que es algo nuevo, extraño, de ayer, y no de antes.

2 Ningún tratado podría bastar para explicar al pormenor el linaje, la dignidad, la sustancia misma y la naturaleza de Cristo, por lo que el Espíritu divino dice: *Su generación, ¿quién la narrará?* [18]; porque, en efecto, nadie conoció al Padre sino el Hijo, ni nadie conoció alguna vez al Hijo, según su dignidad, sino sólo el Padre, que lo engendró [19].

3 ¿Y quién, excepto el Padre, podría concebir sin impurezas la luz [20] que es anterior al mundo y la sabiduría [21] inteligente y sustancial que precedió a los siglos [22], el Verbo viviente en el Padre y que desde el principio es Dios [23], lo primero [24] y único que Dios engendró antes de toda creación [25] y de toda producción de seres visibles e invisibles, el generalísimo del ejército [26] espiritual e inmortal del cielo, el ángel del gran consejo [27], el servidor del pensamiento inefable del Padre, el hacedor de todas las cosas junto con el Padre, la causa segunda [28] de todo después del Padre, el Hijo de

αὐτὸν ἱστορίας ἁπάσης ἀπὸ τῶν κεφαλαιωδεστάτων καὶ κυριωτάτων τοῦ λόγου τὴν ὑφήγησιν ποιησαίμεθα· ταύτῃ δὲ καὶ τῆς Χριστιανῶν ἀρχαιότητος τὸ παλαιὸν ὁμοῦ καὶ θεοπρεπὲς τοῖς νέαν αὐτὴν καὶ ἐκτετοπισμένην, χθὲς καὶ οὐ πρότερον φανεῖσαν, ὑπολαμβάνουσιν ἀναδειχθήσεται.

2 Γένους μὲν οὖν καὶ ἀξίας αὐτῆς τε οὐσίας τοῦ Χριστοῦ καὶ φύσεως οὔτις ἂν εἰς ἔκφρασιν αὐτάρκης γένοιτο λόγος, ᾗ καὶ τὸ πνεῦμα τὸ θεῖον ἐν προφητείαις «τὴν γενεὰν αὐτοῦ» φησὶν «τίς διηγήσεται»; ὅτι δὴ οὔτε τὸν πατέρα τις ἔγνω, εἰ μὴ ὁ υἱός, οὔτ' αὖ τὸν υἱόν τις ἔγνω ποτὲ κατ' ἀξίαν, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ,

3 τό τε φῶς τὸ προκόσμιον καὶ τὴν πρὸ αἰώνων νοερὰν καὶ οὐσιώδη σοφίαν τόν τε ζῶντα καὶ ἐν ἀρχῇ παρὰ τῷ πατρὶ τυγχάνοντα θεὸν λόγον τίς ἂν πλὴν τοῦ πατρὸς καθαρῶς ἐννοήσειεν, πρὸ πάσης κτίσεως καὶ δημιουργίας ὁρωμένης τε καὶ ἀοράτου τὸ πρῶτον καὶ μόνον τοῦ θεοῦ γέννημα, τὸν τῆς κατ' οὐρανὸν λογικῆς καὶ ἀθανάτου στρατιᾶς ἀρχιστράτηγον, τὸν τῆς μεγάλης βουλῆς ἄγγελον, τὸν τῆς ἀρρήτου γνώμης τοῦ πατρὸς ὑπουργόν,

[17] Cf. Act 14,15; Sant 5,17.
[18] Is 53,8; cf. SAN JUSTINO, *Dial.* 76,2.
[19] Cf. Mt 11,27.
[20] Jn 1,9-10.
[21] Cf. Sab 7,22.
[22] Cf. Prov 8,23.
[23] Cf. Jn 1,1-4.
[24] Por la fuerte carga de subordinacionismo de este pasaje, los copistas eliminaron de muchos manuscritos las palabras πρῶτον καί, que les sugería la posibilidad de otras generaciones en Dios, aunque la expresión se encuentra ya en SAN JUSTINO, *Apol.* I 21,1; cf. F. RICKEN, *Die Logoslehre des Eusebios von Caesarea und der Mittelplatonismus:* Theologie und Philosophie 42 (1967) 341-358; R. FARINA, *L'impero e l'imperatore cristiano in Eusebio di Cesarea* (Zurich 1966) p.42-46.
[25] Cf. Col 1,15-16.
[26] Cf. Jos 5,14; 3 Re 22,19; SAN JUSTINO, *Dial.* 61,1.
[27] Is 9,6; cf. Mal 3,1; SAN JUSTINO, *Dial.* 76,8.
[28] Expresión desafortunada, que ha dejado profunda huella en la transmisión del texto. Copistas y traductores se han esforzado en corregirla por todos los medios; sin embargo, refrendado por Orígenes *(C. Cels.* 5,39), el contenido de esta expresión y similares se encuentra

Dios, genuino y único, el Señor, el Dios y el Rey de todos los seres, que ha recibido del Padre la autoridad soberana y la fuerza, junto con la divinidad, el poder y el honor? Porque, en verdad, según lo que de Él dicen las misteriosas enseñanzas de las Escrituras: *En el principio era el Verbo, y el Verbo estaba en Dios, y el Verbo era Dios. Todas las cosas fueron hechas por Él, y sin Él nada se hizo* [29].

4 Esto mismo es lo que enseña el gran Moisés, como el más antiguo de todos los profetas, al describir, bajo inspiración del espíritu divino, la creación y la ordenación del universo: el creador y hacedor del universo cedió a Cristo, y sólo a Cristo, su divino y primogénito Verbo, el hacer los seres inferiores; y con Él lo vemos conversando acerca de la formación del hombre: *Dijo, pues, Dios: Hagamos un hombre a nuestra imagen y a nuestra semejanza* [30].

5 Fiador de esta sentencia es otro profeta, al hablar así de Dios en cierto pasaje de sus himnos: *Porque dijo Él y fue hecho; Él mandó y fue creado* [31]. Introduce aquí al Padre y creador disponiendo con gesto regio, en calidad de soberano absoluto, y al Verbo divino —no otro que el mismo que se nos ha anunciado—, como segundo después de Él y ministro ejecutor de los mandatos paternos.

6 A éste, ya desde los albores de la humanidad, todos cuantos se nos dice que sobresalieron por su rectitud y su religiosidad: los

τὸν τῶν ἁπάντων σύν τῷ πατρὶ δημιουργόν, τὸν δεύτερον μετὰ τὸν πατέρα τῶν ὅλων αἴτιον, τὸν τοῦ θεοῦ παῖδα γνήσιον καὶ μονογενῆ, τὸν τῶν γενητῶν ἁπάντων κύριον καὶ θεὸν καὶ βασιλέα τὸ κῦρος ὁμοῦ καὶ τὸ κράτος αὐτῇ θεότητι καὶ δυνάμει καὶ τιμῇ παρὰ τοῦ πατρὸς ὑποδεδεγμένον, ὅτι δὴ κατὰ τὰς περὶ αὐτοῦ μυστικὰς τῶν γραφῶν θεολογίας «ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν».

4 τοῦτό τοι καὶ ὁ μέγας Μωυσῆς, ὡς ἂν προφητῶν ἁπάντων παλαιότατος, θείῳ πνεύματι τὴν τοῦ παντὸς οὐσίωσίν τε καὶ διακόσμησιν ὑπογράφων, τὸν κοσμοποιόν καὶ δημιουργὸν τῶν ὅλων αὐτῷ δὴ τῷ Χριστῷ καὶ οὐδὲ ἄλλῳ ἢ τῷ θείῳ δηλαδὴ καὶ πρωτογόνῳ ἑαυτοῦ λόγῳ τὴν τῶν ὑποβεβηκότων ποίησιν παραχωροῦντα διδάσκει αὐτῷ τε κοινολογούμενον ἐπὶ τῆς ἀνθρωπογονίας· «εἶπεν γάρ» φησὶν «ὁ θεός· <ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν>».

5 ταύτην δὲ ἐγγυᾶται τὴν φωνὴν προφητῶν ἄλλος, ὧδέ πως ἐν ὕμνοις θεολογῶν «αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν», τὸν μὲν πατέρα καὶ ποιητὴν εἰσάγων ὡς ἂν πανηγεμόνα βασιλικῷ νεύματι προστάττοντα, τὸν δὲ τούτῳ δευτερεύοντα θεῖον λόγον, οὐχ ἕτερον τοῦ πρὸς ἡμῶν κηρυττομένου, ταῖς πατρικαῖς ἐπιτάξεσιν ὑπουργοῦντα.

6 τοῦτον καὶ ἀπὸ πρώτης ἀνθρωπογονίας πάντες ὅσοι δὴ δικαιοσύνῃ καὶ θεοσεβείας ἀρετῇ διαπρέψαι λέγονται, ἀμφί τε

ya en los apologistas del siglo II, especialmente en San Justino *(Dial.* 56,22; 57,3; 58,3; 60,2.5; 61,1; 113,4); cf. J. Lebreton, *Histoire du dogme de la Trinité, des origines au Concile de Nicée*, t.2 (Paris 1928) p.467ss.

[29] Jn 1,1-3; cf. R. Farina, o.c., p.46ss; R. Muñoz Palacios, *La mediación del Logos, preexistente en la encarnación, en Eusebio de Cesarea:* Estudios Eclesiásticos 43 (1968) 381-414; F. Ricken, o.c., p.342ss.

[30] Gén 1,26; cf. San Justino, *Dial.* 62,1; 126-127; *Apol.* I 62-64. Eusebio, en la misma línea de Justino en cuanto a la aplicación de las teofanías al Verbo, tratará de definir estas manifestaciones anteriores a la encarnación, lo mismo que las profecías que la anunciaban desde los patriarcas. El mismo tema aparece en las *Eclog. prophet.*, en PE y DE, obras compuestas entre 312 y 320; cf. Sirinelli, p.261ss y, sobre todo, p.275-280.

[31] Sal 32,9; 148,5.

compañeros del gran servidor Moisés [32] y, antes que él, Abrahán, el primero, lo mismo que sus hijos y cuantos luego se mostraron justos y profetas, al contemplarlo con los ojos limpios de su inteligencia, lo reconocieron y le rindieron el culto debido como a Hijo de Dios.

7 Y Él mismo, sin descuidar lo más mínimo su piedad para con el Padre, se constituyó para todos en maestro del conocimiento del Padre. Y así leemos [33] que el Señor Dios fue visto por Abrahán, que se hallaba sentado junto a la encina de Mambré, bajo el aspecto de un hombre corriente. Abrahán se prosterna al punto y, aunque ve en él con sus ojos un hombre, no obstante lo adora como a Dios, le suplica como a Señor y confiesa no ignorar de quién se trataba, al decir textualmente: *Señor, tú que juzgas la tierra toda, ¿no vas a hacer justicia?* [34]

8 Porque, si ninguna razón puede admitir que la sustancia no engendrada e inmutable de Dios todopoderoso se transmute en la forma de hombre [35], ni que con la apariencia de hombre engendrado engañe a los ojos de los que le ven, ni que la Escritura forje engañosamente tales cosas, un Dios y Señor que juzga a toda la tierra y hace justicia, y que es visto bajo aspecto de hombre, no estando siquiera permitido decir que se trata de la primera causa del universo, ¿qué otro podría ser proclamado tal, sino su único y preexistente Verbo? Acerca de Él se dice también en los salmos: *Mandó su Verbo y los sanó y los libró de su corrupción* [36].

9 Moisés lo proclama clarísimamente segundo Señor después del Padre cuando dice: *Hizo llover el Señor sobre Sodoma y Gomorra*

τὸν μέγαν θεράποντα Μωυσέα καὶ πρό γε αὐτοῦ πρῶτος Ἀβραάμ τούτου τε οἱ παῖδες καὶ ὅσοι μετέπειτα δίκαιοι πεφήνασιν καὶ προφῆται, καθαροῖς διανοίας ὄμμασι φαντασθέντες ἔγνωσάν τε καὶ οἷα θεοῦ παιδὶ τὸ προσῆκον ἀπένειμαν σέβας,

7 αὐτός τε, οὐδαμῶς ἀπορρᾳθυμῶν τῆς τοῦ πατρὸς εὐσεβείας, διδάσκαλος τοῖς πᾶσι τῆς πατρικῆς καθίσταται γνώσεως. ὦφθαι γοῦν κύριος ὁ θεὸς ἀνείρηται οἷά τις κοινὸς ἄνθρωπος τῷ Ἀβραὰμ καθημένῳ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ· ὁ δ' ὑποπεσὼν αὐτίκα, καίτοι γε ἄνθρωπον ὀφθαλμοῖς ὁρῶν, προσκυνεῖ μὲν ὡς θεόν, ἱκετεύει δὲ ὡς κύριον, ὁμολογεῖ τε μὴ ἀγνοεῖν ὅστις εἴη, ῥήμασιν αὐτοῖς λέγων «κύριε ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν»;

8 εἰ γὰρ μηδεὶς ἐπιτρέποι λόγος τὴν ἀγένητον καὶ ἄτρεπτον οὐσίαν θεοῦ τοῦ παντοκράτορος εἰς ἀνδρὸς εἶδος μεταβάλλειν μηδ' αὖ γενητοῦ μηθενὸς φαντασίᾳ τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατᾶν μηδὲ μὴν ψευδῶς τὰ τοιαῦτα πλάττεσθαι τὴν γραφήν, θεὸς καὶ κύριος ὁ κρίνων πᾶσαν τὴν γῆν καὶ ποιῶν κρίσιν, ἐν ἀνθρώπου ὁρώμενος σχήματι, τίς ἂν ἕτερος ἀναγορεύοιτο, εἰ μὴ φάναι θέμις τὸ πρῶτον τῶν ὅλων αἴτιον, ἢ μόνος ὁ προὼν αὐτοῦ λόγος; περὶ οὗ καὶ ἐν ψαλμοῖς ἀνείρηται «ἀπέστειλεν τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν».

9 τοῦτον δεύτερον μετὰ τὸν πατέρα κύριον σαφέστατα Μωυσῆς ἀναγορεύει λέ-

[32] Cf. Núm 12,7; Heb 3,5.
[33] Gén 18,1-3.
[34] Gén 18,25; cf. SAN JUSTINO, *Dial.* 56; SAN IRENEO, *Adv. haer.* 3,6,1; 4,10,1; TERTULIANO, *Adv. Prax.* 13,4; 16,2; *De carne Christi* 6,7; ORÍGENES, *In Ioan.* 2,23; J. LEBRETON, o.c., t.2 p.672.
[35] Cf. Flp 2,8.
[36] Sal 106,20.

*azufre y fuego de parte del Señor*[37]. Y también la Sagrada Escritura lo proclama Dios cuando se apareció a Jacob en figura de hombre[38] y le habló diciendo: *Tu nombre en adelante no será ya Jacob, sino Israel, porque has luchado con Dios*[39], y entonces *Jacob llamó al lugar aquel «Visión de Dios», diciendo: Porque he visto a Dios cara a cara, y mi alma se ha salvado*[40].

10 Y es que no se puede suponer que estas apariciones divinas mencionadas sean de ángeles inferiores y servidores de Dios, pues, cuando alguno de éstos se aparece a los hombres, no se lo calla la Escritura, sino que por su nombre los llama, no Dios ni siquiera Señor, sino ángeles, como es fácil probar con incontables pasajes.

11 Y a este Verbo, Josué, sucesor de Moisés, después de haberlo contemplado no de otra manera que en forma y figura de hombre[41] también, lo llama generalísimo del ejército de Dios[42], como haciéndolo jefe de los ángeles y arcángeles del cielo y de los poderes superiores, y como si fuera poder y sabiduría del Padre[43] y a quien ha sido confiado el segundo puesto del reinado y del principado sobre todas las cosas.

12 Porque está escrito: *Y sucedió que se hallaba Josué cerca de Jericó y, alzando los ojos, vio a un hombre de pie delante de él con la espada desnuda en su mano; y Josué, acercándose a él, le dijo: ¿Eres de los nuestros o de los contrarios? Y él respondió: Yo soy el generalísimo del ejército del Señor; acabo de llegar. Y Josué entonces se prosternó rostro en tierra y le dijo: Señor, ¿qué es lo que mandas a tu sier-*

γων «ἔβρεξε κύριος ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ παρὰ κυρίου»· τοῦτον καὶ τῷ Ἰακὼβ αὖθις ἐν ἀνδρὸς φανέντα σχήματι, θεὸν ἡ θεία προσαγορεύει γραφή, φάσκοντα τῷ Ἰακὼβ «οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ θεοῦ», ὅτε καὶ «ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος θεοῦ», λέγων «εἶδον γὰρ θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή»·

**10** καὶ μὴν οὐδ' ὑποβεβηκότων ἀγγέλων καὶ λειτουργῶν θεοῦ τὰς ἀναγραφείσας θεοφανείας ὑπονοεῖν θέμις, ἐπειδὴ καὶ τούτων ὅτε τις ἀνθρώποις παραφαίνεται, οὐκ ἐπικρύπτεται ἡ γραφή, ὀνομαστὶ οὐ θεὸν οὐδὲ μὴν κύριον, ἀλλ' ἀγγέλους χρηματίσαι λέγουσα, ὡς διὰ μυρίων μαρτυριῶν πιστώσασθαι ῥᾴδιον.

**11** τοῦτον καὶ ὁ Μωυσέως διάδοχος Ἰησοῦς, ὡς ἂν τῶν οὐρανίων ἀγγέλων καὶ ἀρχαγγέλων τῶν τε ὑπερκοσμίων δυνάμεων ἡγούμενον καὶ ὡς ἂν εἰ τοῦ πατρὸς ὑπάρχοντα δύναμιν καὶ σοφίαν καὶ τὰ δευτερεῖα τῆς κατὰ πάντων βασιλείας τε καὶ ἀρχῆς ἐμπεπιστευμένον, ἀρχιστράτηγον δυνάμεως κυρίου ὀνομάζει, οὐκ ἄλλως αὐτὸν ἢ αὖθις ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι θεωρήσας.

**12** γέγραπται γοῦν «καὶ ἐγενήθη, ὡς ἦν Ἰησοῦς ἐν Ἰεριχῷ, καὶ ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑστηκότα κατέναντι αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσελθὼν Ἰησοῦς εἶπεν, ‹ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων;› καὶ εἶπεν αὐτῷ, ‹ἐγὼ ἀρχιστράτηγος δυνάμεως κυρίου νυνὶ παραγέγονα›. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ ‹δέσπο-

37 Gén 19,24.
38 Flp 2,8.
39 Gén 32,28.
40 Gén 32,30.
41 Cf. Flp 2,7-8.
42 Jos 5,14.
43 1 Cor 1,24. El texto acusa una transmisión deficiente.

*vo?, y el generalísimo del Señor dijo a Josué: Quita las sandalias de tus pies, porque el lugar en que estás es lugar santo*[44].

13 De donde, partiendo de las palabras mismas, observarás que éste no es otro que el que se reveló a Moisés, puesto que, efectivamente, la Sagrada Escritura dice de éste en los mismos términos: *Mas, cuando le vio el Señor acercarse para ver, lo llamó el Señor desde la zarza y le dijo: Moisés, Moisés. Éste respondió: ¿Qué hay? Y dijo el Señor: No te acerques aquí. Quita las sandalias de tus pies, porque el lugar en que estás es tierra santa. Y le dijo: Yo soy el Dios de tu padre, Dios de Abrahán, Dios de Isaac y Dios de Jacob*[45].

14 Y que al menos hay una sustancia anterior al mundo, viva y subsistente, la que sirvió de ayuda al Padre y Dios del universo en la creación de todos los seres, llamada Verbo de Dios y Sabiduría, además de las pruebas expuestas, nos es dado escucharlo incluso de la misma Sabiduría en persona que, por boca de Salomón, ella misma nos inicia clarísimamente en su propio misterio: *Yo, la sabiduría, planté mi tienda en el consejo e invoqué a la ciencia y a la inteligencia; por mí los reyes reinan, y los potentados administran justicia; por mí los magnates son engrandecidos, y por mí los soberanos dominan la tierra*[46].

15 A lo cual añade: *El Señor me creó como principio de sus caminos en sus obras, antes de los siglos asentó mis fundamentos. En el principio, antes que hiciese la tierra, antes que brotasen las fuentes de las aguas, antes que cimentara los montes y antes que a todos los collados, me engendró a mí. Cuando preparaba los cielos, con él estaba yo;*

τα, τί προστάσσεις τῷ οἰκέτῃ;› καὶ εἶπεν ὁ ἀρχιστράτηγος κυρίου πρὸς Ἰησοῦν, ‹λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, τόπος ἁγιός ἐστιν››.

**13** ἔνθα καὶ ἐπιστήσεις ἀπὸ τῶν αὐτῶν ῥημάτων ὅτι μὴ ἕτερος οὗτος εἴη τοῦ καὶ Μωυσεῖ κεχρηματικότος, ὅτι δὴ αὐτοῖς ῥήμασι καὶ ἐπὶ τῷδέ φησιν ἡ γραφή «ὡς δὲ εἶδεν κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν κύριος ἐκ τοῦ βάτου λέγων, ‹Μωυσῆ Μωυσῆ›· ὁ δὲ εἶπεν, ‹τί ἐστιν;› καὶ εἶπεν, ‹μὴ ἐγγίσῃς ὧδε· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας ἐπ' αὐτοῦ, γῆ ἁγία ἐστίν›. καὶ εἶπεν αὐτῷ, ‹ἐγώ εἰμι ὁ θεὸς τοῦ πατρός σου, θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ›»·

**14** καὶ ὅτι γέ ἐστιν οὐσία τις προκόσμιος ζῶσα καὶ ὑφεστῶσα, ἡ τῷ πατρὶ καὶ θεῷ τῶν ὅλων εἰς τὴν τῶν γενητῶν ἁπάντων δημιουργίαν ὑπηρετησαμένη, λόγος θεοῦ καὶ σοφία χρηματίζουσα, πρὸς ταῖς τεθειμέναις ἀποδείξεσιν ἔτι καὶ αὐτῆς ἐξ ἰδίου προσώπου τῆς σοφίας ἐπακοῦσαι πάρεστιν, διὰ Σολομῶνος λευκότατα ὧδέ πως τὰ περὶ αὐτῆς μυσταγωγούσης «ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. δι' ἐμοῦ βασιλεῖς βασιλεύουσιν, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην· δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς»·

**15** οἷς ἐπιλέγει «κύριος ἔκτισέν με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέν με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με· ἡνίκα ἡτοίμαζεν τὸν οὐρανόν, συμπαρή-

[44] Jos 5,13-15.
[45] Ex 3,4-6; cf. SAN JUSTINO, *Apol. I* 63,2; *Dial.* 60,1.
[46] Prov 8,12.15-16.

*y cuando hacía perennes los manantiales que están bajo el cielo, con él me sentaba yo a dirigir. Yo me sentaba allí donde él cada día se complacía y me encantaba estar delante de él en toda ocasión, cuando él se congratulaba de haber acabado el universo*[47].

16 Brevemente, pues, queda expuesto que el Verbo divino existió antes que todo, y también a quiénes, ya que no a todos, se apareció.

17 Mas ¿por qué no fue predicado antes, antiguamente, a todos los hombres y a todas las naciones, lo mismo que lo es ahora? Quizás pueda esclarecerlo esta respuesta: la vida primitiva de los hombres era incapaz de hacer un sitio a la enseñanza de Cristo, todo sabiduría y virtud.

18 En efecto, al menos en los comienzos, después de su primer tiempo de vida dichosa, el primer hombre se desentendió del mandato divino y se precipitó en este vivir mortal y perecedero, y cambió las delicias divinas del comienzo por esta tierra maldita. Y sus descendientes poblaron nuestra tierra toda y, con excepción de uno o dos en alguna parte, fueron manifiestamente degenerando y llegaron a tener una conducta propia de bestias y una vida intolerable[48].

19 Ni siquiera se les ocurría pensar en ciudades, ni en constituciones, ni en artes, ni en ciencias. De las leyes y juicios, así como de la virtud y de la filosofía, ni el nombre conocían. Como gente

μην αὐτῷ, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανόν, ἤμην σὺν αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρεν καθ' ἡμέραν, εὐφραινόμην δὲ ἐνώπιον αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε εὐφραίνετο τὴν οἰκουμένην συντελέσας».

**16** ὅτι μὲν οὖν προῆν καὶ τισίν, εἰ καὶ μὴ τοῖς πᾶσιν, ὁ θεῖος λόγος ἐπεφαίνετο, ταῦθ' ἡμῖν ὡς ἐν βραχέσιν εἰρήσθω.

**17** Τί δὴ οὖν οὐχὶ καθάπερ τὰ νῦν, καὶ πάλαι πρότερον εἰς πάντας ἀνθρώπους καὶ πᾶσιν ἔθνεσιν ἐκηρύττετο, ὧδε ἂν γένοιτο πρόδηλον. οὐκ ἦν πω χωρεῖν οἷός τε τὴν τοῦ Χριστοῦ πάνσοφον καὶ πανάρετον διδασκαλίαν ὁ πάλαι τῶν ἀνθρώπων βίος.

**18** εὐθὺς μέν γε ἐν ἀρχῇ μετὰ τὴν πρώτην ἐν μακαρίοις ζωὴν ὁ πρῶτος ἄνθρωπος ἧττον τῆς θείας ἐντολῆς φροντίσας, εἰς τουτονὶ τὸν θνητὸν καὶ ἐπίκηρον βίον καταπέπτωκεν καὶ τὴν ἐπάρατον ταυτηνὶ γῆν τῆς πάλαι ἐνθέου τρυφῆς ἀντικατηλλάξατο, οἵ τε ἀπὸ τούτου τὴν καθ' ἡμᾶς σύμπασαν πληρώσαντες πολὺ χείρους ἀναφανέντες ἐκτὸς ἑνός που καὶ δευτέρου, θηριώδη τινὰ τρόπον καὶ βίον ἀβίωτον ἐπανῄρηντο·

**19** ἀλλὰ καὶ οὔτε πόλιν οὔτε πολιτείαν, οὐ τέχνας, οὐκ ἐπιστήμας ἐπὶ νοῦν ἐβάλλοντο, νόμων τε καὶ δικαιωμάτων καὶ προσέτι ἀρετῆς καὶ φιλοσοφίας οὐδὲ ὀνόματος μετεῖχον, νομάδες δὲ ἐπ' ἐρημίας οἷά

[47] Prov 8,22-25.27-28.30-31; cf. SAN JUSTINO, *Dial.* 61,3-5; ATENÁGORAS, *Suppl.* 10; TEÓFILO DE ANTIOQUÍA, *Ad Autol.* 2,10; M. SIMONETTI, *Studi sull'Arianesimo* (Roma 1965) p.9-87; A. WEBER, *Arché. Ein Beitrag zur Christologie des Eusebius von Cäsarea* (Roma 1965).

[48] Este cuadro tan pesimista de los albores de la humanidad no proviene de las Escrituras, sino de las tradiciones populares incorporadas al acervo literario y filosófico de la cultura helénica. Algo parecido se encuentra ya insinuado en la *Odisea* IX 105ss, y en HESIODO, *Erga* 11-40, lo mismo que en LUCRECIO, *De rer. nat.* 5,925ss y en OVIDIO, *Ars amat.* 2,467-476, pero Eusebio parece inspirarse más directamente en DIODORO DE SICILIA, *Bibl.* 1,6-8, a quien cita por extenso en PE 1,7,10, aunque se aparta de él al atribuir al hombre el mal uso del libre arbitrio. En PE 2,5,4, nos da Eusebio una descripción parecida, en donde a la maldad añade el ateísmo o impiedad como condición original del hombre después de su caída; puede verse también DE 4,6-8 y 8, pról.; cf. SIRINELLI, p.210ss; M. HARL, *L'histoire de l'humanité racontée par un écrivain chrétien au IV^e siècle*: REG 75 (1962) 522-531.

ruda y montaraz, hacían vida nómada por lugares desiertos. Con el exceso de malicia libremente abrazada, corrompían el natural razonamiento y todo germen de inteligencia y suavidad propios del alma humana. Y hasta tal punto se entregaban sin reservas a toda iniquidad, que a veces mutuamente se corrompían, a veces se mataban unos a otros y, en ocasiones, practicaban la antropofagia, y llevaron su osadía hasta combatir contra Dios y entablar esas guerras de gigantes, de todos conocidas, y pensaron en amurallar la tierra contra el cielo y prepararse, en su loco desatino, para hacer la guerra al mismo que está sobre todo.

**20** A los que tal vida llevaban, Dios, que todo lo controla, los persigue con inundaciones e incendios devastadores, como si se tratara de un bosque salvaje esparcido por toda la tierra, y los fue abatiendo con hambres continuas, con pestes y guerras y aun fulminándolos desde arriba, como si con estos remedios tan amargos intentara atajar una espantosa y gravísima enfermedad de las almas.

**21** Entonces, pues, cuando estaba realmente a punto de alcanzar a todos el sopor de la maldad, como el de una tremenda borrachera que oscureciera y hundiera en tinieblas las almas de casi todos los hombres, la Sabiduría de Dios, su primogénita y primera criatura [49], y el mismo Verbo preexistente [50], por un exceso de amor a los hombres, se manifestó a los seres inferiores, unas veces mediante visiones de ángeles y otras por sí mismo, como poder salvador de Dios, a uno o dos de los antiguos varones amigos de Dios, y no de otra manera que en forma de hombre [51], la única en que a ellos podía aparecerse.

τινες ἄγριοι καὶ ἀπηνεῖς διῆγον, τοὺς μὲν ἐκ φύσεως προσήκοντας λογισμοὺς τά τε λογικὰ καὶ ἥμερα τῆς ἀνθρώπων ψυχῆς σπέρματα αὐτοπροαιρέτου κακίας ὑπερβολῇ διαφθείροντες, ἀνοσιουργίαις δὲ πάσαις ὅλους σφᾶς ἐκδεδωκότες, ὡς τοτὲ μὲν ἀλληλοφθορεῖν, τοτὲ δὲ ἀλληλοκτονεῖν, ἄλλοτε δὲ ἀνθρωποβορεῖν, θεομαχίας τε καὶ τὰς παρὰ τοῖς πᾶσιν βοωμένας γιγαντομαχίας ἐπιτολμᾶν, καὶ γῆν μὲν ἐπιτειχίζειν οὐρανῷ διανοεῖσθαι, μανίᾳ δὲ φρονήματος ἐκτόπου αὐτὸν τὸν ἐπὶ πᾶσιν πολεμεῖν παρασκευάζεσθαι·

**20** ἐφ' οἷς τοῦτον ἑαυτοὺς ἄγουσι τὸν τρόπον κατακλυσμοῖς αὐτοὺς καὶ πυρπολήσεσιν ὥσπερ ἀγρίαν ὕλην κατὰ πάσης τῆς γῆς κεχυμένην θεὸς ὁ πάντων ἔφορος μετῄει, λιμοῖς τε συνεχέσι καὶ λοιμοῖς πολέμοις τε αὖ καὶ κεραυνῶν βολαῖς ἄνωθεν αὐτοὺς ὑπετέμνετο, ὥσπερ τινὰ δεινὴν καὶ χαλεπωτάτην νόσον ψυχῶν πικροτέροις ἀνέχων τοῖς κολαστηρίοις.

**21** τότε μὲν οὖν, ὅτε δὴ καὶ πολὺς ἦν ἐπικεχυμένος ὀλίγου δεῖν κατὰ πάντων ὁ τῆς κακίας κάρος, οἷα μέθης δεινῆς, τὰς ἁπάντων σχεδὸν ἀνθρώπων ἐπισκιαζούσης καὶ ἐπισκοτούσης ψυχάς, ἡ πρωτόγονος καὶ πρωτόκτιστος τοῦ θεοῦ σοφία καὶ αὐτὸς ὁ προὼν λόγος φιλανθρωπίας ὑπερβολῇ τοτὲ μὲν δι' ὀπτασίας ἀγγέλων τοῖς ὑποβεβηκόσι, τοτὲ δὲ καὶ δι' ἑαυτοῦ οἷα θεοῦ δύναμις σωτήριος ἑνί που καὶ δευτέρῳ τῶν πάλαι θεοφιλῶν ἀνδρῶν οὐκ ἄλλως ἢ δι' ἀνθρώπου μορφῆς, ὅτι μηδ' ἑτέρως ἦν δυνατὸν αὐτοῖς, ὑπεφαίνετο.

49 Cf. Col 1,15; Prov 8,22; H. Jaeger, *The Patristic Conception of Wisdom in the Light of Biblical and Rabbinical Research:* Studia Patristica 4: TU 79 (Berlin 1961) 90-106.
50 Jn 1,1.
51 1 Cor 1,24.

22 Pero una vez que, por intermedio de éstos, la semilla de la religión se extendió a una muchedumbre de hombres y surgió de los primeros hebreos de la tierra una nación entera que se aferró a la religión, Dios, por medio del profeta Moisés[52], hizo a éstos, como a hombres que todavía continuaban en su antiguo género de vida, entrega de imágenes y símbolos de cierto misterioso sábado y de la circuncisión, y los inició en otros preceptos espirituales, pero no les desveló el misterio mismo.

23 Mas su ley cobró fama, y como brisa fragante se difundió entre todos los hombres. Entonces ya, a partir de ellos, las mentes de la mayoría de las gentes se fueron suavizando por influjo de legisladores y de filósofos de aquí y de allá, y la condición propia de animales rudos y salvajes se fue cambiando en suavidad, de suerte que lograron una paz profunda[53], amistades y trato de unos con otros. Pues bien, entonces es cuando, al fin, en los comienzos del Imperio romano y por medio de un hombre que en nada difería de nuestra naturaleza en cuanto a la sustancia corporal, se manifestó a todos los hombres y a todas las naciones esparcidas por el mundo dándoles por preparados y dispuestos ya para recibir el conocimiento del Padre, aquel mismo maestro de virtudes en persona, el colaborador del Padre en toda obra buena, el divino y celestial Verbo de Dios, y tan grandes cosas realizó y padeció cuales se hallaban en las profecías; éstas habían proclamado de antemano

**22** ὡς δ' ἤδη διὰ τούτων τὰ θεοσεβείας σπέρματα εἰς πλῆθος ἀνδρῶν καταβέβλητο ὅλον τε ἔθνος ἐπὶ γῆς θεοσεβείᾳ προσανέχον ἐκ τῶν ἀνέκαθεν Ἑβραίων ὑπέστη, τούτοις μέν, ὡς ἂν εἰ πλήθεσιν ἔτι ταῖς παλαιαῖς ἀγωγαῖς ἐκδεδιῃτημένοις, διὰ τοῦ προφήτου Μωυσέως εἰκόνας καὶ σύμβολα σαββάτου τινὸς μυστικοῦ καὶ περιτομῆς ἑτέρων τε νοητῶν θεωρημάτων εἰσαγωγάς, ἀλλ' οὐκ αὐτὰς ἐναργεῖς παρεδίδου μυσταγωγίας·

**23** ὡς δὲ τῆς παρὰ τούτοις νομοθεσίας βοωμένης καὶ πνοῆς δίκην εὐώδους εἰς ἅπαντας ἀνθρώπους διαδιδομένης, ἤδη τότε ἐξ αὐτῶν καὶ τοῖς πλείοσιν τῶν ἐθνῶν διὰ τῶν πανταχόσε νομοθετῶν τε καὶ φιλοσόφων ἡμέρωτο τὰ φρονήματα. τῆς ἀγρίας καὶ ἀπηνοῦς θηριωδίας ἐπὶ τὸ πρᾷον μεταβεβλημένης, ὡς καὶ εἰρήνην βαθεῖαν φιλίας τε καὶ ἐπιμιξίας πρὸς ἀλλήλους ἔχειν, τηνικαῦτα πᾶσι δὴ λοιπὸν ἀνθρώποις καὶ τοῖς ἀνὰ τὴν οἰκουμένην ἔθνεσιν ὡς ἂν προωφελημένοις καὶ ἤδη τυγχάνουσιν ἐπιτηδείοις πρὸς παραδοχὴν τῆς τοῦ πατρὸς γνώσεως, ὁ αὐτὸς δὴ πάλιν ἐκεῖνος ὁ τῶν ἀρετῶν διδάσκαλος, ὁ ἐν πᾶσιν ἀγαθοῖς τοῦ πατρὸς ὑπουργός, ὁ θεῖος καὶ οὐράνιος τοῦ θεοῦ λόγος, δι' ἀνθρώπου κατὰ μηδὲν σώματος οὐσίᾳ τὴν ἡμετέραν φύσιν διαλλάττοντος ἀρχομένης τῆς Ῥωμαίων βασιλείας ἐπιφανείς, τοιαῦτα ἔδρασέν τε καὶ πέπονθεν,

52 En la perspectiva de la HE, Moisés es el instrumento de Dios, y la religión judía, una religión capaz de suavizar la condición del hombre tras la caída, aunque a base de imágenes y de símbolos, como puente entre los «primeros hebreos», posesores de la «verdadera religión», y sus auténticos sucesores y continuadores: los cristianos. En PE 7,8, en cambio, aparece corrompida bajo el influjo de los egipcios, y por ello necesitada de la ley mosaica.

53 Eusebio piensa aquí, sin duda alguna, más que en la paz de Augusto, en la paz moral, fruto de la difusión de la ley judía, según Is 2,1-5; cf. DE 3,2,37ss. Solamente en PE, escrita entre 314 y 320, después de haber repensado estos datos sobre la civilización desde un punto de vista no de historia de la salvación, sino de historia y de política, sin más, la identificará con la paz del Imperio romano (PE 1,4-5); cf. K. Wengst, *Pax Romana, Anspruch und Wirklichkeit. Erfahrungen und Wahrnehmung des Friedens bei Jesus und im Urchristentum* (Munich 1986); Ch. G. Starr, *The Roman empire 27 B.C.-A.D. 476. A study in survival* (Oxford 1982).

que un hombre y Dios a la vez vendría a morar en esta vida y obraría maravillas y sería señalado como maestro de la religión de su Padre para todas las naciones; también habían proclamado el portento de su nacimiento, la novedad de su enseñanza, sus obras admirables y, por si fuera poco, el modo de su muerte, su resurrección de entre los muertos y, sobre todo, su divina restauración en los cielos.

24 En cuanto al reinado final[54] del Verbo, el profeta Daniel, contemplándolo por influjo del espíritu divino, sintióse divinamente inspirado y describió así, bastante al estilo humano, su visión: *Porque yo—dice—estaba mirando hasta que fueron colocados tronos, y un anciano de muchos días se sentó. Y era su vestido blanco igual que nieve, y su cabellera como lana limpia; su trono, llama de fuego, y sus ruedas, fuego ardiente. Un río de fuego brotaba delante de él y miles de millares le servían y miríadas y miríadas asistían delante de él. Sentóse el tribunal y se abrieron los libros*[55].

25 Y a las pocas líneas continúa diciendo: *Estaba yo contemplando, y vi venir con las nubes del cielo como un hijo de hombre que avanzó hasta el anciano de muchos días y lo presentaron delante de éste. Y le fueron dados el señorío, y la gloria, y el reino, y todos los pueblos, tribus y lenguas serán siervos suyos. Su poderío es poderío eterno, no pasará. Y su reino no será destruido*[56].

26 Ahora bien, está claro que todas estas cosas no podrían referirse a otro que a nuestro Salvador, al Dios-Verbo, que en el

οἷα ταῖς προφητείαις ἀκόλουθα ἦν, ἄνθρωπον ὁμοῦ καὶ θεὸν ἐπιδημήσειν τῷ βίῳ παραδόξων ἔργων ποιητὴν καὶ τοῖς πᾶσιν ἔθνεσιν διδάσκαλον τῆς τοῦ πατρὸς εὐσεβείας ἀναδειχθήσεσθαι τό τε παράδοξον αὐτοῦ τῆς γενέσεως καὶ τὴν καινὴν διδασκαλίαν καὶ τῶν ἔργων τὰ θαύματα ἐπί τε τούτοις τοῦ θανάτου τὸν τρόπον τήν τε ἐκ νεκρῶν ἀνάστασιν καὶ ἐπὶ πᾶσιν τὴν εἰς οὐρανοὺς ἔνθεον ἀποκατάστασιν αὐτοῦ προκηρυττούσαις.

24 τὴν γοῦν ἐπὶ τέλει βασιλείαν αὐτοῦ Δανιὴλ ὁ προφήτης θείῳ πνεύματι συνορῶν, ὧδέ πῃ ἐθεοφορεῖτο, ἀνθρωπινώτερον τὴν θεοπτίαν ὑπογράφων· «ἐθεώρουν» γάρ φησιν «ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο. καὶ τὸ ἔνδυμα αὐτοῦ ὡς εἰ χιὼν λευκόν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡς εἰ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισεν, καὶ βίβλοι ἠνεῴχθησαν».

25 καὶ ἑξῆς «ἐθεώρουν», φησὶν «καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς εἰ υἱός ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη· καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι αὐτῷ δουλεύσουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται· καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται».

26 ταῦτα δὲ σαφῶς οὐδ' ἐφ' ἕτερον, ἀλλ' ἐπὶ τὸν ἡμέτερον σωτῆρα, τὸν ἐν ἀρχῇ πρὸς τὸν θεὸν θεὸν λόγον, ἀναφέ-

[54] La partícula γοῦν parece introducir una distinción entre este reinado final del Verbo y la restauración obrada por él, aludida en el párrafo anterior. Sin embargo, la relación entre ambos no está clara (cf. SIRINELLI, p.479), aunque F. Bovon (a.c.) ve aquí «una interpretación, fiel al Nuevo Testamento, del *ya y todavía no*» (p.134 nota 48).

[55] Dan 7,9-10.

[56] Dan 7,13-14. Cf. EUSEBIO, DE fragm. 3, ed. HEIKEL, p.495; *Eclog. proph.* 3,44.

principio estaba en Dios[57] y que, por causa de su encarnación en los últimos tiempos, se llamó Hijo del hombre.

27 Mas démonos por contentos con lo dicho, para la obra presente, pues en comentarios especiales[58] tengo ya recogidas las profecías que atañen a Jesucristo, Salvador nuestro, y en otros escritos he dado una mejor demostración de cuanto hemos expuesto acerca de Él.

## 3

### [De cómo el nombre de Jesús y el mismo de Cristo habían sido ya conocidos desde antiguo y honrados por los profetas inspirados por Dios]

1 Ha llegado ya el momento de demostrar que también entre los antiguos profetas, amigos de Dios, se honraba ya los nombres mismos de Jesús y de Cristo.

2 Moisés mismo fue el primero en conocer el nombre de Cristo como el más augusto y glorioso cuando hizo entrega de figuras, símbolos e imágenes misteriosas de las cosas del cielo, conforme al oráculo que le decía: *Mira, harás todas las cosas según el modelo que te ha sido mostrado en el monte*[59]; y celebrando al sumo sacerdote de Dios en tanto en cuanto le es posible a un hombre, lo proclama «Cristo»[60]. A esta dignidad del supremo sacerdocio, que para él sobrepasa a toda otra primera dignidad de entre los hombres,

ροιτο ἄν, υἱὸν ἀνθρώπου διὰ τὴν ὑστάτην ἐνανθρώπησιν αὐτοῦ χρηματίζοντα.

27 ἀλλὰ γὰρ ἐν οἰκείοις ὑπομνήμασιν τὰς περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προφητικὰς ἐκλογὰς συναγαγόντες ἀποδεικτικώτερόν τε τὰ περὶ αὐτοῦ δηλούμενα ἐν ἑτέροις συστήσαντες, τοῖς εἰρημένοις ἐπὶ τοῦ παρόντος ἀρκεσθησόμεθα.

Γ'

1 Ὅτι δὲ καὶ αὐτὸ τοὔνομα τοῦ τε Ἰησοῦ καὶ τοῦ Χριστοῦ παρ' αὐτοῖς τοῖς πάλαι θεοφιλέσιν προφήταις τετίμητο, ἤδη καιρὸς ἀποδεικνύναι.

2 σεπτὸν ὡς ἔνι μάλιστα καὶ ἔνδοξον τὸ Χριστοῦ ὄνομα πρῶτος αὐτὸς γνωρίσας Μωυσῆς τύπους οὐρανίων καὶ σύμβολα μυστηριώδεις τε εἰκόνας ἀκολούθως χρησμῷ φήσαντι αὐτῷ «ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει» παραδούς, ἀρχιερέα θεοῦ, ὡς ἐνῆν μάλιστα δυνατὸν ἄνθρωπον, ἐπιφημίσας, τοῦτον Χριστὸν ἀναγορεύει, καὶ ταύτῃ γε τῇ κατὰ τὴν ἀρχιερωσύνην ἀξίᾳ, πᾶσαν ὑπερβαλλούσῃ παρ' αὐτῷ

[57] Jn 1,1.

[58] Eusebio debe referirse a la *Introducción general elemental* cuyos libros 6-9 pasaron a formar parte de las *Eclogae propheticae*, que actualmente constituyen un tratado de las profecías mesiánicas en cuatro libros. Para Valois, lo mismo que para Häuser y para Gätner, Eusebio se refiere a la DE. A ésta quizá apunte más bien en la expresión que sigue, hablando de «otros escritos», frase que pudo ser añadida cuando ya tenía redactada la DE (después de 314) o preparado al menos el material.

[59] Ex 25,40; cf. Heb 8,5.

[60] Lev 4,5.16; 6,22; M. de Jonge, *The earliest Christian use of «Christos». Some suggestions*. New Testament Studies 32 (1986) 321-343.

sobre el honor y la gloria, le añade el nombre de Cristo. Así, pues, él conocía el carácter divino de Cristo.

3 Pero es que el mismo Moisés, por obra del espíritu divino, conoció de antemano bien claramente incluso el nombre de Jesús, considerándolo asimismo digno de un privilegio insigne. En efecto, nunca se había pronunciado este nombre entre los hombres antes de ser conocido por Moisés. Este aplica el nombre de Jesús primera y únicamente a aquel que, una vez más conforme a la figura y al símbolo, sabía que habría de sucederle, después de su muerte, en el mando supremo[61].

4 Nunca antes su sucesor había usado el nombre de Jesús, sino que se le llamaba por otro nombre, Ausé, precisamente el que le habían puesto sus padres[62]. Moisés le dio el nombre de Jesús como un privilegio precioso, mucho mayor que el de una corona real. Le dio ese nombre porque, en realidad, el mismo Jesús, hijo de Navé, era portador de la imagen de nuestro Salvador, el único que, después de Moisés y después de haber concluido el culto simbólico por él transmitido, le sucedería en el mando de la verdadera y firmísima religión.

5 Y de esta manera Moisés, como haciéndoles el más grande honor, aplicó el nombre de Jesucristo nuestro Salvador a los dos hombres que, según él, más sobresalían en virtud y en gloria sobre todo el pueblo, a saber, al sumo sacerdote y al que le había de suceder en el mando.

6 Pero está claro también que los profetas posteriores han

τὴν ἐν ἀνθρώποις προεδρίαν, ἐπὶ τιμῇ καὶ δόξῃ τὸ τοῦ Χριστοῦ περιτίθησιν ὄνομα· οὕτως ἄρα τὸν Χριστὸν θεῖόν τι χρῆμα ἠπίστατο.

3 ὁ δ' αὐτὸς καὶ τὴν τοῦ Ἰησοῦ προσηγορίαν εὖ μάλα πνεύματι θείῳ προϊδών, πάλιν τινὸς ἐξαιρέτου προνομίας καὶ ταύτην ἀξιοῖ. οὔποτε γοῦν πρότερον ἐκφωνηθὲν εἰς ἀνθρώπους, πρὶν ἢ Μωυσεῖ γνωσθῆναι, τὸ τοῦ Ἰησοῦ πρόσρημα τούτῳ Μωυσῆς πρώτῳ καὶ μόνῳ περιτίθησιν, ὃν κατὰ τύπον αὖθις καὶ σύμβολον ἔγνω μετὰ τὴν αὐτοῦ τελευτὴν διαδεξόμενον τὴν κατὰ πάντων ἀρχήν.

4 οὐ πρότερον γοῦν τὸν αὐτοῦ διάδοχον, τῇ τοῦ Ἰησοῦ κεχρημένον προσηγορίᾳ, ὀνόματι δὲ ἑτέρῳ τῷ Αὔσῃ, ὅπερ οἱ γεννήσαντες αὐτῷ τέθεινται, καλούμενον, Ἰησοῦν αὐτὸς ἀναγορεύει, γέρας ὥσπερ τίμιον, παντὸς πολὺ μεῖζον βασιλικοῦ διαδήματος, τοὔνομα αὐτῷ δωρούμενος, ὅτι δὴ καὶ αὐτὸς ὁ τοῦ Ναυη Ἰησοῦς τοῦ σωτῆρος ἡμῶν τὴν εἰκόνα ἔφερεν, τοῦ μόνου μετὰ Μωυσέα καὶ τὸ συμπέρασμα τῆς δι' ἐκείνου παραδοθείσης συμβολικῆς λατρείας, τῆς ἀληθοῦς καὶ καθαρωτάτης εὐσεβείας τὴν ἀρχὴν διαδεξαμένου.

5 καὶ Μωυσῆς μὲν ταύτῃ πῃ δυσὶ τοῖς κατ' αὐτὸν ἀρετῇ καὶ δόξῃ παρὰ πάντα τὸν λαὸν προφέρουσιν ἀνθρώποις, τῷ μὲν ἀρχιερεῖ, τῷ δὲ μετ' αὐτὸν ἡγησομένῳ, τὴν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ προσηγορίαν ἐπὶ τιμῇ τῇ μεγίστῃ περιτέθειται·

6 σαφῶς δὲ καὶ οἱ μετὰ ταῦτα προφῆ-

[61] Núm 13,16.

[62] La forma Ausé de los Setenta no gustaba a San Jerónimo, que la sustituye por Oseas (*In Oseam* 1; cf. LACTANCIO, *Inst. divin.* 4,17). Lo importante, sin embargo, es el cambio de nombre. Moisés da a su sucesor el nombre de Jesús (según la lectura de los Setenta, Josué en la masorética). La tipología Josué-Jesucristo era ya común entre los Padres anteriores a Eusebio; cf. ORÍGENES, *In Exod.* hom. 11,3; *In librum Jesu Navé* hom. 1,1-2.

anunciado a Cristo por su nombre y han dado testimonio por adelantado no sólo de la conjura del pueblo judío que tendría lugar contra Él, sino también de la llamada que por Él se haría a las naciones. Una vez será Jeremías, al decir así: *El espíritu de nuestro rostro, el Cristo Señor, de quien habíamos dicho: «A su sombra viviremos entre las gentes», cayó preso en sus trampas* [63]. Otra vez será David, que exclama perplejo: *¿Por qué se amotinaron las naciones y los pueblos maquinaron planes vanos? Asistieron los reyes de la tierra y los príncipes se aunaron contra el Señor y contra su Cristo* [64]; y añade luego, hablando en la persona misma de Cristo: *El Señor me dijo: Mi hijo eres tú; yo te he engendrado hoy. Pídeme, y te daré en heredad las naciones y en posesión los confines de la tierra* [65].

7 Pero es de saber que, entre los hebreos, el nombre de Cristo no era ornato únicamente de los que estaban investidos con el sumo sacerdocio y eran ungidos simbólicamente con óleo preparado, sino también de los reyes, a los cuales ungían los profetas por inspiración divina y hacían de ellos imágenes de Cristo, pues, efectivamente, estos reyes llevaban ya en sí mismos la imagen del poder regio y soberano del único y verdadero Cristo, Verbo divino, que reina sobre todas las cosas.

8 Además, la tradición nos ha hecho saber igualmente que incluso algunos profetas se han convertido en Cristos, en figura, por obra de la unción con el óleo [66], de suerte que todos éstos hacen referencia al verdadero Cristo, el Verbo divino y celestial, único

ται ὀνομαστὶ τὸν Χριστὸν προανεφώνουν, ὁμοῦ τὴν μέλλουσαν ἔσεσθαι κατ' αὐτοῦ συσκευὴν τοῦ Ἰουδαίων λαοῦ, ὁμοῦ δὲ καὶ τὴν τῶν ἐθνῶν δι' αὐτοῦ κλῆσιν προμαρτυρόμενοι, τοτὲ μὲν ὧδέ πως Ἱερεμίας λέγων «πνεῦμα προσώπου ἡμῶν Χριστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς αὐτῶν, οὗ εἴπομεν ‹ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν›», τοτὲ δὲ ἀμηχανῶν Δαυὶδ διὰ τούτων «ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήθησαν ἐπὶ τὸ αὐτό, κατά τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ»· οἷς ἑξῆς ἐπιλέγει ἐξ αὐτοῦ δὴ προσώπου τοῦ Χριστοῦ «κύριος εἶπεν πρός με ‹υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς›».

7 οὐ μόνους δὲ ἄρα τοὺς ἀρχιερωσύνῃ τετιμημένους, ἐλαίῳ σκευαστῷ τοῦ συμβόλου χριομένους ἕνεκα, τὸ τοῦ Χριστοῦ κατεκόσμει παρ' Ἑβραίοις ὄνομα, ἀλλὰ καὶ τοὺς βασιλέας, οὓς καὶ αὐτοὺς νεύματι θείῳ προφῆται χρίοντες εἰκονικούς τινας Χριστοὺς ἀπειργάζοντο, ὅτι δὴ καὶ αὐτοὶ τῆς τοῦ μόνου καὶ ἀληθοῦς Χριστοῦ, τοῦ κατὰ πάντων βασιλεύοντος θείου λόγου, βασιλικῆς καὶ ἀρχικῆς ἐξουσίας τοὺς τύπους δι' ἑαυτῶν ἔφερον.

8 ἤδη δὲ καὶ αὐτῶν τῶν προφητῶν τινας διὰ χρίσματος Χριστοὺς ἐν τύπῳ γεγονέναι παρειλήφαμεν, ὡς τούτους ἅπαντας τὴν ἐπὶ τὸν ἀληθῆ Χριστόν, τὸν ἔνθεον καὶ οὐράνιον λόγον, ἀναφορὰν ἔχειν, μόνον ἀρχιερέα τῶν ὅλων καὶ μόνον ἁπάσης κτίσεως βασιλέα καὶ μόνον προφητῶν ἀρχιπροφήτην τοῦ πατρὸς τυγχάνοντα.

[63] Lam 4,20.
[64] Sal 2,1-2.
[65] Sal 2,7-8. Estos temas los desarrolla más en PE I 3,13-15 y DE VIII 4.
[66] Cf. 3 Re 19,16. Para esta afirmación, Eusebio debe de apoyarse en la tradición, ya que por la Escritura sólo se tiene noticia de Eliseo; recuérdese que «Cristo» significa «ungido».

sumo Sacerdote del universo, único rey de toda la creación y, entre los profetas, único sumo Profeta del Padre.

9 Prueba de ello es que ninguno de los que antiguamente fueron ungidos simbólicamente: ni sacerdotes, ni reyes, ni profetas poseyeron tan alto poder de virtud divina como está demostrado que poseyó Jesús, nuestro Salvador y Señor, el único y verdadero Cristo.

10 Al menos ninguno de ellos, por más que brillara por su dignidad y por su honor entre los suyos en tantas generaciones, dio jamás el apelativo de cristiano a sus súbditos, aplicándoles en figura el nombre de Cristo. Ni tampoco sus súbditos rindieron a ninguno de ellos el honor del culto, ni fue tal su predisposición, que después de su muerte estuvieran preparados a morir por el mismo al que así honraban. Y por ninguno de ellos hubo una conmoción tal de todas las naciones del ancho mundo. Y es que la fuerza del símbolo que en ellos había era incapaz de obrar como obró la presencia de la verdad demostrada a través de nuestro Salvador.

11 Este de nadie tomó símbolos y figuras del sumo sacerdocio; ni descendía, en cuanto al cuerpo, de familia sacerdotal; ni fue elevado a la dignidad regia por un cuerpo de guardia compuesto de hombres; ni siquiera fue un profeta igual que los de antaño ni obtuvo entre los judíos precedencia alguna de honor ni de cualquier otra clase; y, sin embargo, está adornado por el Padre de todas estas prerrogativas, y no, por cierto, en figura, sino en su misma verdad[67].

12 Así, pues, sin haber sido objeto de nada semejante a lo que

**9** τούτον δ' ἀπόδειξις τὸ μηδένα πω τῶν πάλαι διὰ τοῦ συμβόλου κεχρισμένων, μήτε ἱερέων μήτε βασιλέων μήτε μὴν προφητῶν, τοσαύτην ἀρετῆς ἐνθέου δύναμιν κτήσασθαι, ὅσην ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς ὁ μόνος καὶ ἀληθινὸς Χριστὸς ἐπιδέδεικται.

**10** οὐδείς γέ τοι ἐκείνων, καίπερ ἀξιώματι καὶ τιμῇ ἐπὶ πλείσταις ὅσαις γενεαῖς παρὰ τοῖς οἰκείοις διαλαμψάντων, τούς ὑπηκόους πώποτε ἐκ τῆς περὶ αὐτοὺς εἰκονικῆς τοῦ Χριστοῦ προσρήσεως Χριστιανοὺς ἐπεφήμισεν· ἀλλ' οὐδὲ σεβάσμιός τινι τούτων πρὸς τῶν ὑπηκόων ὑπῆρξε τιμή· ἀλλ' οὐδὲ μετὰ τὴν τελευτὴν τοσαύτη διάθεσις, ὡς καὶ ὑπεραποθνῄσκειν ἑτοίμως ἔχειν τοῦ τιμωμένου· ἀλλ' οὐδὲ πάντων τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν περί τινα τῶν τότε τοσαύτη γέγονε κίνησις, ἐπεὶ μηδὲ τοσοῦτον ἐν ἐκείνοις ἡ τοῦ συμβόλου δύναμις οἵα τε ἦν ἐνεργεῖν, ὅσον ἡ τῆς ἀληθείας παράστασις διὰ τοῦ σωτῆρος ἡμῶν ἐνδεικνυμένη·

**11** ὃς οὔτε σύμβολα καὶ τύπους ἀρχιερωσύνης παρά του λαβών, ἀλλ' οὐδὲ γένος τὸ περὶ σῶμα ἐξ ἱερωμένων κατάγων, οὐδ' ἀνδρῶν δορυφορίαις ἐπὶ βασιλείαν προαχθεὶς οὐδὲ μὴν προφήτης ὁμοίως τοῖς πάλαι γενόμενος, οὐδ' ἀξίας ὅλως ἤ τινος παρὰ Ἰουδαίοις τυχὼν προεδρίας, ὅμως τοῖς πᾶσιν, εἰ καὶ μὴ τοῖς συμβόλοις, ἀλλ' αὐτῇ γε τῇ ἀληθείᾳ παρὰ τοῦ πατρὸς κεκόσμητο,

**12** οὐχ ὁμοίων δ' οὖν οἷς προειρήκα-

[67] Cristo es, pues, profeta, sumo sacerdote y rey. Eusebio parece recoger aquí la distinción, ignorada por el NT, de las tres funciones que, según algunos círculos esenios del judaísmo palestinense de los siglos II y I a.d.C., tal como se lee en diversos pasajes de los mss. de Qumrân, serían desempeñadas por un profeta y por dos mesías, sumo sacerdote de la comunidad el uno y jefe laico y político de la nación el otro. Eusebio encuentra las tres funciones reunidas en Cristo; cf. K. G. KUHN, *Die beiden Messias Aarons und Israels*: New Testament Studies 1 (1954-55) 168-179.

hemos descrito, es proclamado Cristo con más motivo que todos aquéllos y, siendo Él mismo el único y verdadero Cristo de Dios, llenó el mundo entero de cristianos, esto es, de su nombre realmente venerable y sagrado. Ya no son figuras e imágenes lo que Él entrega a sus seguidores, sino las mismas virtudes en su pureza y una vida de cielo con la misma doctrina de la verdad.

13 Y la unción que ha recibido no es ya la preparada con sustancias materiales, sino algo divino por el Espíritu de Dios, por su participación en la divinidad ingénita del Padre. Esto mismo justamente es lo que enseñaba Isaías cuando clamaba, igual que si lo hiciera con la voz misma de Cristo: *El Espíritu del Señor está sobre mí, por esto me ungió: me envió para anunciar la buena nueva a los pobres, y pregonar a los cautivos la libertad y a los ciegos el ver de nuevo*[68].

14 Y no solamente Isaías. También David se vuelve hacia el mismo Cristo y le dice: *Tu trono es, ¡oh Dios!, eterno y para siempre; el cetro de tu reino, cetro de rectitud. Amaste la justicia y aborreciste la maldad, por eso te ungió Dios, tu Dios, con óleo de gozo, más que a tus compañeros*[69]. Aquí, el primer versículo del texto lo llama Dios; el segundo le honra con el cetro real.

15 Y a continuación, después de su poder divino y regio, muestra al mismo Cristo, en tercer lugar, ungido no con el óleo que procede de materia corporal, sino con el óleo divino del gozo, por el que se viene a significar su excelencia, su superioridad y su diferencia respecto de los antiguos, ungidos más corporalmente y en figura.

μεν, τυχών, πάντων ἐκείνων καὶ Χριστὸς μᾶλλον ἀνηγόρευται, καὶ ὡς ἂν μόνος καὶ ἀληθὴς αὐτὸς ὢν ὁ Χριστὸς τοῦ θεοῦ, Χριστιανῶν τὸν πάντα κόσμον, τῆς ὄντως σεμνῆς καὶ ἱερᾶς αὐτοῦ προσηγορίας, κατέπλησεν, οὐκέτι τύπους οὐδὲ εἰκόνας, ἀλλ' αὐτὰς γυμνὰς ἀρετὰς καὶ βίον οὐράνιον αὐτοῖς ἀληθείας δόγμασιν τοῖς θιασώταις παραδούς,

**13** τό τε χρῖσμα, οὐ τὸ διὰ σωμάτων σκευαστόν, ἀλλ' αὐτὸ δὴ πνεύματι θείῳ τὸ θεοπρεπές, μετοχῇ τῆς ἀγεννήτου καὶ πατρικῆς θεότητος ἀπειλήφει· ὃ καὶ αὐτὸ πάλιν Ἡσαΐας διδάσκει, ὡς ἂν ἐξ αὐτοῦ ὧδέ πως ἀναβοῶν τοῦ Χριστοῦ «πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν».

**14** καὶ οὐ μόνος γε Ἡσαΐας, ἀλλὰ καὶ Δαυὶδ εἰς τὸ αὐτοῦ πρόσωπον ἀναφωνεῖ λέγων «ὁ θρόνος σου, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέν σε, ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»· ἐν οἷς ὁ λόγος ἐν μὲν τῷ πρώτῳ στίχῳ θεὸν αὐτὸν ἐπιφημίζει, ἐν δὲ τῷ δευτέρῳ σκήπτρῳ βασιλικῷ τιμᾷ,

**15** εἶθ' ἑξῆς ὑποβὰς μετὰ τὴν ἔνθεον καὶ βασιλικὴν δύναμιν τρίτῃ τάξει Χριστὸν αὐτὸν γεγονότα, ἐλαίῳ οὐ τῷ ἐξ ὕλης σωμάτων, ἀλλὰ τῷ ἐνθέῳ τῆς ἀγαλλιάσεως ἠλειμμένον, παρίστησιν· παρ' ὃ καὶ τὸ ἐξαίρετον αὐτοῦ καὶ πολὺ κρεῖττον καὶ διάφορον τῶν πάλαι διὰ τῶν εἰκόνων σωματικώτερον κεχρισμένων ὑποσημαίνει.

[68] Is 61,1; Lc 4,18-19. En la interpretación de estos pasajes, Eusebio se halla en la más pura línea prenicena; cf. A. Weber, *Die Taufe Jesu im Jordan als Anfang nach Eusebius von Cäsarea:* Theologie und Philosophie 41 (1966) 20-29. [69] Sal 44,7-8; cf. Heb 1,8-9.

16 Y en otro pasaje, el mismo David descubre las cosas que atañen a Cristo con estas palabras: *Dijo el Señor a mi Señor: Siéntate a mi derecha mientras pongo a tus enemigos por escabel de tus pies*[70]. Y también: *De mi seno te engendré antes del alba. Juró el Señor y no se arrepentirá: Tú eres sacerdote para siempre, según el orden de Melquisedec*[71].

17 Ahora bien, este Melquisedec aparece en las Sagradas Escrituras como sacerdote del Dios Altísimo[72] sin que sea señalado con algún óleo preparado y sin que esté emparentado con el sacerdocio hebraico por sucesión alguna hereditaria. Por eso es por lo que nuestro Salvador es proclamado con juramento Cristo y Sacerdote según su orden y no según el de los otros, que habían recibido símbolos y figuras[73].

18 De ahí que tampoco la historia nos haya transmitido que Cristo fuera ungido corporalmente entre los judíos ni que naciera de una tribu sacerdotal, sino al revés, que recibió su ser de Dios mismo antes del alba, esto es, antes de la creación del mundo, y que entró en posesión de un sacerdocio inmortal y duradero por la eternidad sin fin.

19 Una prueba sólida y patente de esta unción incorporal y divina es que, de todos los hombres de su tiempo y de los que luego han seguido hasta hoy, únicamente Él, entre todos y en el mundo entero, ha sido llamado y proclamado Cristo; solamente a Él reconocen bajo este nombre, dan testimonio de Él y le recuerdan todos, lo mismo entre griegos que entre bárbaros; y hasta hoy todavía sus seguidores, repartidos por toda la tierra habitada, siguen dándole honores de rey, admirándole más que como a profeta y glorificán-

**16** καὶ ἀλλαχοῦ δὲ ὁ αὐτὸς ὧδέ πως τὰ περὶ αὐτοῦ δηλοῖ λέγων «εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· ‹κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου›», καὶ «ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται· σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδεκ».

**17** οὗτος δὲ εἰσάγεται ἐν τοῖς ἱεροῖς λόγοις ὁ Μελχισεδεκ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου, οὐκ ἐν σκευαστῷ τινι χρίσματι ἀναδεδειγμένος, ἀλλ' οὐδὲ διαδοχῇ γένους προσήκων τῇ καθ' Ἑβραίους ἱερωσύνῃ· δι' ὃ κατὰ τὴν αὐτοῦ τάξιν, ἀλλ' οὐ κατὰ τὴν τῶν ἄλλων σύμβολα καὶ τύπους ἀνειληφότων Χριστὸς καὶ ἱερεὺς μεθ' ὅρκου παραλήψεως ὁ σωτὴρ ἡμῶν ἀνηγόρευται·

**18** ὅθεν οὐδὲ σωματικῶς παρὰ Ἰουδαίοις χρισθέντα αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ἀλλ' οὐδ' ἐκ φυλῆς τῶν ἱερωμένων γενόμενον, ἐξ αὐτοῦ δὲ θεοῦ πρὸ ἑωσφόρου μέν, τοῦτ' ἔστιν πρὸ τῆς τοῦ κόσμου συστάσεως, οὐσιωμένον, ἀθάνατον δὲ καὶ ἀγήρω τὴν ἱερωσύνην εἰς τὸν ἄπειρον αἰῶνα διακατέχοντα.

**19** τῆς δ' εἰς αὐτὸν γενομένης ἀσωμάτου καὶ ἐνθέου χρίσεως μέγα καὶ ἐναργὲς τεκμήριον τὸ μόνον αὐτὸν ἐξ ἁπάντων τῶν πώποτε εἰς ἔτι καὶ νῦν παρὰ πᾶσιν ἀνθρώποις καθ' ὅλου τοῦ κόσμου Χριστὸν ἐπιφημίζεσθαι ὁμολογεῖσθαί τε καὶ μαρτυρεῖσθαι πρὸς ἁπάντων ἐπὶ τῇ προσηγορίᾳ παρά τε Ἕλλησι καὶ βαρβάροις μνημονεύεσθαι, καὶ εἰς ἔτι νῦν παρὰ τοῖς ἀνὰ τὴν οἰκουμένην αὐτοῦ θιασώταις τιμᾶσθαι μὲν ὡς βασιλέα, θαυμάζεσθαι δὲ ὑπὲρ προφήτην,

[70] Sal 109,1; cf. Heb 1,13.
[71] Sal 109,3-4.
[72] Gén 14,18-20; cf. *infra* X 4,23.
[73] Cf. Heb 6,20; 7,11-27.

9. De Josefo y los escritos que dejó.
10. De qué manera cita los libros divinos.
11. De cómo después de Santiago dirige la Iglesia de Jerusalén Simeón.
12. De cómo Vespasiano ordena que se busque a los descendientes de David.
13. De cómo el segundo en dirigir a los alejandrinos es Abilio.
14. De cómo el segundo obispo de Roma es Anacleto.
15. De cómo el tercero, después de él, es Clemente.
16. De la carta de Clemente.
17. De la persecución bajo Domiciano.
18. Del apóstol Juan y el *Apocalipsis*.
19. De cómo Domiciano ordena dar muerte a los descendientes de David.

# Γ'

Τάδε καὶ ἡ γ' περιέχει βίβλος τῆς 'Εκκλησιαστικῆς ἱστορίας

Α' Ὅποι γῆς ἐκήρυξαν τὸν Χριστὸν οἱ ἀπόστολοι.
Β' Τίς πρῶτος τῆς 'Ρωμαίων ἐκκλησίας προέστη.
Γ' Περὶ τῶν ἐπιστολῶν τῶν ἀποστόλων.
Δ' Περὶ τῆς πρώτης ἀποστόλων διαδοχῆς.
Ε' Περὶ τῆς μετὰ τὸν Χριστὸν ὑστάτης 'Ιουδαίων πολιορκίας.
ς' Περὶ τοῦ πιέσαντος αὐτοὺς λιμοῦ.
Ζ' Περὶ τῶν τοῦ Χριστοῦ προρρήσεων.
Η' Περὶ τῶν πρὸ τοῦ πολέμου σημείων.
Θ' Περὶ 'Ιωσήπου καὶ ὧν κατέλιπεν συγγραμμάτων.
Ι' Ὅπως τῶν θείων μνημονεύει βιβλίων.
ΙΑ' Ὡς μετὰ 'Ιάκωβον ἡγεῖται Συμεὼν τῆς ἐν 'Ιεροσολύμοις ἐκκλησίας.
ΙΒ' Ὡς Οὐεσπασιανὸς τοὺς ἐκ Δαυὶδ ἀναζητεῖσθαι προστάττει.
ΙΓ' Ὡς δεύτερος 'Αλεξανδρέων ἡγεῖται 'Αβίλιος.
ΙΔ' Ὡς καὶ 'Ρωμαίων δεύτερος 'Ανέγκλητος ἐπισκοπεῖ.
ΙΕ' Ὡς τρίτος μετ' αὐτὸν Κλήμης.
Ις' Περὶ τῆς Κλήμεντος ἐπιστολῆς.
ΙΖ' Περὶ τοῦ κατὰ Δομετιανὸν διωγμοῦ.
ΙΗ' Περὶ 'Ιωάννου τοῦ ἀποστόλου καὶ τῆς 'Αποκαλύψεως.
ΙΘ' Ὡς Δομετιανὸς τοὺς ἀπὸ γένους Δαυὶδ ἀναιρεῖσθαι προστάττει.

20. De los parientes de nuestro Salvador.
21. De cómo el tercero en dirigir la Iglesia de Alejandría es Cerdón.
22. De cómo el segundo en la de Antioquía es Ignacio.
23. Relato sobre el apóstol Juan.
24. Del orden de los evangelios.
25. De las divinas Escrituras reconocidas y sobre las que no lo son.
26. Del mago Menandro.
27. De la herejía de los ebionitas.
28. Del heresiarca Cerinto.
29. De Nicolás y de los que de él toman el nombre.
30. De los apóstoles cuyo matrimonio está comprobado.
31. De la muerte de Juan y de Felipe.
32. De cómo sufrió martirio Simeón, el obispo de Jerusalén.
33. De cómo Trajano prohibió que se buscara a los cristianos.
34. De cómo el cuarto en dirigir la Iglesia de Roma es Evaristo.
35. De cómo el tercero en la de Jerusalén es Justo.
36. De Ignacio y sus cartas.
37. De los evangelistas que todavía entonces se distinguían.
38. De la carta de Clemente y los escritos que se le atribuyen falsamente.
39. De los escritos de Papías.

Κ' Περὶ τῶν πρὸς γένους τοῦ σωτῆρος ἡμῶν.
ΚΑ' Ὡς τῆς Ἀλεξανδρέων ἐκκλησίας τρίτος ἡγεῖται Κέρδων.
ΚΒ' Ὡς τῆς Ἀντιοχέων δεύτερος Ἰγνάτιος.
ΚΓ' Ἱστορία περὶ Ἰωάννου τοῦ ἀποστόλου.
ΚΔ' Περὶ τῆς τάξεως τῶν εὐαγγελίων.
ΚΕ' Περὶ τῶν ὁμολογουμένων θείων γραφῶν καὶ τῶν μὴ τοιούτων.
Κϛ' Περὶ Μενάνδρου τοῦ γόητος.
ΚΖ' Περὶ τῆς τῶν Ἐβιωναίων αἱρέσεως.
ΚΗ' Περὶ Κηρίνθου αἱρεσιάρχου.
ΚΘ' Περὶ Νικολάου καὶ τῶν ἐξ αὐτοῦ κεκλημένων.
Λ' Περὶ τῶν ἐν συζυγίαις ἐξετασθέντων ἀποστόλων.
ΛΑ' Περὶ τῆς Ἰωάννου καὶ Φιλίππου τελευτῆς.
ΛΒ' Ὅπως Συμεὼν ὁ ἐν Ἱεροσολύμοις ἐπίσκοπος ἐμαρτύρησεν.
ΛΓ' Ὅπως Τραϊανὸς ζητεῖσθαι Χριστιανοὺς ἐκώλυσεν.
ΛΔ' Ὡς τῆς Ῥωμαίων ἐκκλησίας τέταρτος Εὐάρεστος ἡγεῖται.
ΛΕ' Ὡς τρίτος τῆς ἐν Ἱεροσολύμοις Ἰοῦστος.
Λϛ' Περὶ Ἰγνατίου καὶ τῶν ἐπιστολῶν αὐτοῦ.
ΛΖ' Περὶ τῶν εἰς ἔτι τότε διαπρεπόντων εὐαγγελιστῶν.
ΛΗ' Περὶ τῆς Κλήμεντος ἐπιστολῆς καὶ τῶν ψευδῶς εἰς αὐτὸν ἀναφερομένων.
ΛΘ' Περὶ τῶν Παπία συγγραμμάτων.

# 1

## [En qué partes de la tierra predicaron a Cristo los apóstoles]

1 Tal era la situación de los judíos, mientras los santos apóstoles y discípulos de nuestro Salvador se habían esparcido por toda la tierra: a Tomás, según quiere una tradición, le tocó en suerte Par-

Α'

1 Τὰ μὲν δὴ κατὰ Ἰουδαίους ἐν τούτοις ἦν· τῶν δὲ ἱερῶν τοῦ σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθητῶν ἐφ' ἅπασαν κατασπαρέντων τὴν οἰκουμένην, Θωμᾶς μέν, ὡς ἡ παράδοσις περιέχει, τὴν Παρθίαν εἴληχεν, Ἀνδρέας δὲ τὴν Σκυθίαν,

tia [1]; a Andrés, Escitia; a Juan, Asia, donde [2] se estableció, muriendo en Efeso.

2 Pedro, según parece, predicó en el Ponto, en Galacia y en Bitinia, en Capadocia y en Asia [3], a los judíos de la diáspora; al final llegó a Roma y fue crucificado con la cabeza para abajo, como él mismo había pedido padecer.

3 ¿Y qué decir de Pablo, que desde Jerusalén hasta el Ilírico cumplió con la predicación del Evangelio de Cristo [4] y, finalmente, sufrió martirio en Roma bajo Nerón? Esto lo dice Orígenes literalmente en el tomo III de sus *Comentarios al Génesis* [5].

## 2

### [Quién fue el primero que presidió la Iglesia de Roma]

Después del martirio de Pablo y de Pedro, el primero en ser elegido para el episcopado de la Iglesia de Roma es Lino. Lo menciona Pablo cuando escribe desde Roma a Timoteo, en la despedida al final de la carta [6].

Ἰωάννης τὴν Ἀσίαν, πρὸς οὓς καὶ διατρίψας ἐν Ἐφέσῳ τελευτᾷ,

**2** Πέτρος δ' ἐν Πόντῳ καὶ Γαλατίᾳ καὶ Βιθυνίᾳ Καππαδοκίᾳ τε καὶ Ἀσίᾳ κεκηρυχέναι τοῖς ἐν διασπορᾷ Ἰουδαίοις ἔοικεν· ὃς καὶ ἐπὶ τέλει ἐν Ῥώμῃ γενόμενος, ἀνεσκολοπίσθη κατὰ κεφαλῆς, οὕτως αὐτὸς ἀξιώσας παθεῖν.

**3** τί δεῖ περὶ Παύλου λέγειν, ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκότος τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ὕστερον ἐν τῇ Ῥώμῃ ἐπὶ Νέρωνος μεμαρτυρηκότος; ταῦτα Ὠριγένει κατὰ λέξιν ἐν τρίτῳ τόμῳ τῶν εἰς τὴν Γένεσιν ἐξηγητικῶν εἴρηται.

### Β'

Τῆς δὲ Ῥωμαίων ἐκκλησίας μετὰ τὴν Παύλου καὶ Πέτρου μαρτυρίαν πρῶτος κληροῦται τὴν ἐπισκοπὴν Λίνος. μνημονεύει τούτου Τιμοθέῳ γράφων ἀπὸ Ῥώμης ὁ Παῦλος κατὰ τὴν ἐπὶ τέλει τῆς ἐπιστολῆς πρόσρησιν.

1 Rufino añade aquí: «Mathaeus Aethiopiam, Bartholomaeus Indiam citeriorem». En cuanto a las relaciones de Tomás con Edesa, cf. *supra* I 13,4.11. A finales del siglo IV se veneraban en esta ciudad sus reliquias, y la viajera española Eteria *(Peregrin.* 17) podía orar «ad martyrium sancti Thomae apostoli». Sobre la predicación de Tomás en la India, cf. A. Dihle, *Neues zur Thomas-Tradition:* Jahrbuch für Antike und Christentum 6 (1963) 54-70; E. Junod, *Origène, Eusèbe et la tradition sur la repartition des champs de missión des Apôtres (Eusèbe, HE III 1,1-3)*, en F. Bovon (ed.), *Les Actes apocryphes des apôtres: Christianisme et monde païen* (Ginebra 1981) p.233-48.

2 πρὸς οὓς no tiene antecedente; a no ser que Eusebio, al escribir Asia, pensara en sus habitantes, y la frase le saliera concertada con ese antecedente plural que tenía «in mente», cosa poco probable; sólo se explica por un mal corte de la cita (y casi es seguro que comenzaba por este relativo la cita literal del t.3 de los *Comentarios* de Orígenes al Génesis, aludidos *infra*, al final del párrafo 3). De todos modos, la referencia a Asia es clara, por eso traduzco «donde...»; cf. I. I. Bruce, *St. John at Ephesus:* Bulletin of the John Rylands University 60 (1977-78) 339-361.

3 1 Pe 1,1.

4 Rom 15,19.

5 Estos *Comentarios* se han perdido. Según el *Contra Celsum* 6,49, debía de comentar Gén 1-4. San Jerónimo *(Epist.* 33) menciona 13 libros de Orígenes sobre el Génesis. La mención del martirio de Pedro crucificado con la cabeza para abajo hace pensar que Orígenes debió de tomarlo de los *Hechos de Pedro* 37ss: Hennecke, 2 p.219, que Eusebio nombra expresamente *infra* 3,2.

6 2 Tim 4,21; cf. San Ireneo, *Adv. haer.* 3,3,2. Probablemente Eusebio está en lo cierto en esta identificación. Aquí aparece Lino como sucesor de Pablo y de Pedro, igual que en la cita de San Ireneo *(infra* V 6,1) y en la del *Anónimo* contra Artemón en V 28,3 (que cita

# 3

## [Sobre las cartas de los apóstoles]

1 De Pedro está admitida una sola carta, la llamada *I de Pedro.* Los mismos presbíteros antiguos la utilizaron como algo indiscutible en sus propios escritos [7]. En cambio, de la llamada *II carta,* la tradición nos dice que no es testamentaria [8]; sin embargo, por parecer provechosa a muchos, se la ha tomado en consideración con las otras Escrituras [9].

2 En cuanto a los *Hechos* que llevan su nombre y el *Evangelio* llamado suyo [10], así como la *Predicación* que se dice ser suya y el llamado *Apocalipsis* [11], sabemos que en modo alguno han sido transmitidos entre los escritos católicos [12], pues ningún autor eclesiástico [13], ni antiguo ni moderno, ha utilizado testimonio alguno sacado de ellos.

3 A medida que avance esta *Historia,* iré haciendo adrede que, junto con las sucesiones, sean indicados quiénes de los escritores eclesiásticos, según las épocas, usaron de los libros discutidos y de cuáles de ellos, y también qué dicen de los escritos testamentarios y admitidos, y qué de los que no lo están [14].

Γ'

**1** Πέτρου μὲν οὖν ἐπιστολὴ μία, ἡ λεγομένη αὐτοῦ προτέρα, ἀνωμολόγηται, ταύτῃ δὲ καὶ οἱ πάλαι πρεσβύτεροι ὡς ἀναμφιλέκτῳ ἐν τοῖς σφῶν αὐτῶν κατακέχρηνται συγγράμμασιν· τὴν δὲ φερομένην δευτέραν οὐκ ἐνδιάθηκον μὲν εἶναι παρειλήφαμεν, ὅμως δὲ πολλοῖς χρήσιμος φανεῖσα, μετὰ τῶν ἄλλων ἐσπουδάσθη γραφῶν.

**2** τό γε μὴν τῶν ἐπικεκλημένων αὐτοῦ Πράξεων καὶ τὸ κατ' αὐτὸν ὠνομασμένον εὐαγγέλιον τό τε λεγόμενον αὐτοῦ Κήρυγμα καὶ τὴν καλουμένην Ἀποκάλυψιν οὐδ' ὅλως ἐν καθολικοῖς ἴσμεν παραδεδομένα, ὅτι μήτε ἀρχαίων μήτε μὴν καθ' ἡμᾶς τις ἐκκλησιαστικὸς συγγραφεὺς ταῖς ἐξ αὐτῶν συνεχρήσατο μαρτυρίαις.

**3** προϊούσης δὲ τῆς ἱστορίας προὔργου ποιήσομαι σὺν ταῖς διαδοχαῖς ὑποσημήνασθαι τίνες τῶν κατὰ χρόνους ἐκκλεσιαστικῶν συγγραφέων ὁποίαις κέχρηνται τῶν ἀντιλεγομένων, τίνα τε περὶ τῶν ἐνδιαθήκων καὶ ὁμολογουμένων γραφῶν καὶ ὅσα περὶ τῶν μὴ τοιούτων αὐτοῖς εἴρηται.

**4** ἀλλὰ τὰ μὲν ὀνομαζόμενα Πέτρου, ὧν μόνην μίαν γνησίαν ἔγνων ἐπιστολὴν καὶ παρὰ τοῖς πάλαι πρεσβυτέροις ὁμολογουμένην, τοσαῦτα·

las afirmaciones de los adversarios), mientras que en III 4,8 veremos que le hace sucesor de Pedro solamente, lo mismo que en *Chronic. ad annum 68:* Helm, p.185.

7 Cf. *infra* 25,2; 39,17; IV 14,9; Eusebio la utiliza como indiscutible en PE I 3,6.

8 Esto es, canónica.

9 Cf. *infra* 25,3; J. Chaine, *Les Épîtres Catholiques* (París 1939) p.1-34. A. Wikenhauser, *Einleitung in das Neue Testament* (Friburgo 1963) p.367-73.

10 Cf. *infra* VI 12,4-6.

11 Cf. *infra* 25,4.

12 Es la primera vez que estos apócrifos se mencionan por su nombre. Cf. Hennecke, 2 p.177-88, sobre los *Hechos;* ibid., 1 p.118-121, sobre el *Evangelio;* ibid., 2 p.58-61 sobre la *Predicación;* p.468-471, sobre el *Apocalipsis.*

13 «Eclesiástico» en el sentido de ortodoxo.

14 Cf. J. Salaverri, *La sucesión apostólica en la «Historia Eclesiástica» de Eusebio Cesariense:* Gregorianum 14 (1933) 219-247.

4 Ahora bien, los escritos que llevan el nombre de Pedro, de los cuales solamente una única carta conocemos como auténtica y admitida entre los presbíteros antiguos, son los dichos.

5 En cambio, es evidente y claro que las catorce *Cartas* son de Pablo [15]. Con todo, no es justo ignorar que algunos han rechazado la *carta a los Hebreos*, diciendo que la Iglesia de Roma no la admite por creer que no es de Pablo [16]. Lo que sobre ésta han dicho los que me han precedido, lo expondré a su debido tiempo [17]. Naturalmente, tampoco he aceptado entre los escritos indiscutidos los *Hechos* que se dicen ser de él [18].

6 Mas, como quiera que el mismo apóstol, en las despedidas finales de la *carta a los Romanos* [19], menciona, junto con otros, a Hermas—de quien se dice que es el libro del *Pastor* [20]—, ha de saberse que también algunos rechazan este libro y que por causa de ellos no se le puede poner entre los admitidos; en cambio, otros lo juzgan muy necesario, especialmente para los que precisan de una introducción elemental. Por esta razón sabemos que se ha leído públicamente en las iglesias y hemos comprobado que algunos escritores de los más antiguos han hecho uso de él.

7 Baste lo dicho como exposición de cuáles son las divinas Escrituras no discutidas y cuáles las que no todos admiten.

5 τοῦ δὲ Παύλου πρόδηλοι καὶ σαφεῖς αἱ δεκατέσσαρες· ὅτι γε μὴν τινες ἠθετήκασι τὴν πρὸς Ἑβραίους, πρὸς τῆς Ῥωμαίων ἐκκλησίας ὡς μὴ Παύλου οὖσαν αὐτὴν ἀντιλέγεσθαι φήσαντες, οὐ δίκαιον ἀγνοεῖν· καὶ τὰ περὶ ταύτης δὲ τοῖς πρὸ ἡμῶν εἰρημένα κατὰ καιρὸν παραθήσομαι. οὐδὲ μὴν τὰς λεγομένας αὐτοῦ Πράξεις ἐν ἀναμφιλέκτοις παρείληφα.

6 ἐπεὶ δ' ὁ αὐτὸς ἀπόστολος ἐν ταῖς ἐπὶ τέλει προσρήσεσιν τῆς πρὸς Ῥωμαίους μνήμην πεποίηται μετὰ τῶν ἄλλων καὶ Ἑρμᾶ, οὗ φασιν ὑπάρχειν τὸ τοῦ Ποιμένος βιβλίον, ἰστέον ὡς καὶ τοῦτο πρὸς μέν τινων ἀντιλέλεκται, δι' οὓς οὐκ ἂν ἐν ὁμολογουμένοις τεθείη, ὑφ' ἑτέρων δὲ ἀναγκαιότατον οἷς μάλιστα δεῖ στοιχειώσεως εἰσαγωγικῆς, κέκριται· ὅθεν ἤδη καὶ ἐν ἐκκλησίαις ἴσμεν αὐτὸ δεδημοσιευμένον, καὶ τῶν παλαιτάτων δὲ συγγραφέων κεχρημένους τινὰς αὐτῷ κατείληφα.

7 ταῦτα εἰς παράστασιν τῶν τε ἀναντιρρήτων καὶ τῶν μὴ παρὰ πᾶσιν ὁμολογουμένων θείων γραμμάτων εἰρήσθω.

15 Cf. *infra* 25,2.

16 Cf. *infra* VI 20,3; la rechazaron Cayo, en su *Didlogo*, y algunos romanos.

17 *Infra* 38,1ss.

18 Cf. *infra* 25,4; sobre estos *Hechos de Pablo*, atestiguados desde muy pronto, véase HENNECKE, 2 p.221-41; L. VOUAUX, *Les Actes de Paul et ses lettres apocryphes.* Introd., textes, trad. et comm. (Paris 1913).

19 Rom 16,14.

20 Cf. *infra* 25,4; S. GIET, *Hermas et les Pasteurs. Les trois auteurs du Pasteur d'Hermas* (Paris 1963); R. JOLY, *Hermas et le Pasteur*: VigCh 21 (1967) 101-218; J. J. AYÁN-CALVO, *Hermas. El Pastor*, edición bilingüe = Fuentes Patrísticas, 6 (Madrid 1995), con una completísima bibliografía.

# 4

## [DE LA PRIMERA SUCESIÓN DE LOS APÓSTOLES]

1 Que Pablo predicó a los gentiles y que, desde Jerusalén, en gira hasta el Ilírico, puso los cimientos de las iglesias, aparece bien claro en sus propias palabras [21] y en lo que Lucas narra en los *Hechos*.

2 Por las palabras de Pedro en su *Carta*, de la que ya hemos dicho [22] que está admitida, y que escribe a los hebreos de la diáspora, moradores del Ponto, de Galacia, de Capadocia, de Asia y de Bitinia [23], se ve claro en qué provincias predicó él a Cristo y transmitió la doctrina del Nuevo Testamento a los que procedían de la circuncisión [24].

3 Pero no es fácil decir cuántos y quiénes de éstos, convertidos en hombres de celo genuino, fueron considerados capaces de apacentar las iglesias fundadas por estos apóstoles, a no ser los que se pueda ir espigando en los escritos de Pablo.

4 Este, efectivamente, tuvo innumerables colaboradores y—como él mismo los llama—compañeros de milicia [25]. A la mayor parte los considera dignos de recuerdo imperecedero y en sus propias cartas da continuo testimonio de ellos. Y no sólo eso, que también Lucas en los *Hechos* da una lista de los discípulos de Pablo y los menciona por su nombre.

Δ'

1 Ὅτι μὲν οὖν τοῖς ἐξ ἐθνῶν κηρύσσων ὁ Παῦλος τοὺς ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ τῶν ἐκκλησιῶν καταβέβλητο θεμελίους, δῆλον ἐκ τῶν αὐτοῦ γένοιτ' ἂν φωνῶν καὶ ἀφ' ὧν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστόρησεν·

2 καὶ ἐκ τῶν Πέτρου δὲ λέξεων ἐν ὁπόσαις καὶ οὗτος ἐπαρχίαις τοὺς ἐκ περιτομῆς τὸν Χριστὸν εὐαγγελιζόμενος τὸν τῆς καινῆς διαθήκης παρεδίδου λόγον, σαφὲς ἂν εἴη ἀφ' ἧς εἰρήκαμεν ὁμολογουμένης αὐτοῦ ἐπιστολῆς, ἐν ᾗ τοῖς ἐξ Ἑβραίων οὖσιν ἐν διασπορᾷ Πόντου καὶ Γαλατίας Καππαδοκίας τε καὶ Ἀσίας καὶ Βιθυνίας γράφει.

3 ὅσοι δὲ τούτων καὶ τίνες γνήσιοι ζηλωταὶ γεγονότες τὰς πρὸς αὐτῶν ἱδρυθείσας ἱκανοὶ ποιμαίνειν ἐδοκιμάσθησαν ἐκκλησίας, οὐ ῥᾴδιον εἰπεῖν, μὴ ὅτι γε ὅσους ἄν τις ἐκ τῶν Παύλου φωνῶν ἀναλέξοιτο·

4 τούτου γὰρ οὖν μυρίοι συνεργοὶ καί, ὡς αὐτὸς ὠνόμασεν, συστρατιῶται γεγόνασιν, ὧν οἱ πλείους ἀλήστου πρὸς αὐτοῦ μνήμης ἠξίωνται, διηνεκῆ τὴν περὶ αὐτῶν μαρτυρίαν ταῖς ἰδίαις ἐπιστολαῖς ἐγκαταλέξαντος, οὐ μὴν ἀλλὰ καὶ ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν τοὺς γνωρίμους αὐτοῦ καταλέγων ἐξ ὀνόματος αὐτῶν μνημονεύει.

21 Rom 15,19.
22 Cf. *supra* 3,1.
23 1 Pe 1,1.
24 Gál 2,7-10.
25 Flp 2,25; Fil 2.

5 De Timoteo al menos se refiere que fue el primero en ser designado para el episcopado de la iglesia de Efeso[26], así como Tito, de las iglesias de Creta[27].

6 Lucas, en cambio, oriundo de Antioquía por su linaje y médico de profesión[28], fue la mayor parte del tiempo compañero de Pablo. Mas su trato con los otros apóstoles tampoco fue superficial: de ellos adquirió la terapéutica de las almas, de la que nos dejó ejemplos en dos libros divinamente inspirados: el *Evangelio*, que atestigua haber compuesto según lo que le habían transmitido los que desde el principio fueron testigos oculares y se hicieron servidores de la doctrina, a todos los cuales dice él que siguió ya desde el comienzo[29], y los *Hechos de los Apóstoles* que compuso, no ya con lo que había oído, sino con lo visto por sus ojos.

7 Se dice también que Pablo acostumbraba a hacer mención del *Evangelio de Lucas* siempre que, escribiendo, decía como si se tratara de un evangelio suyo propio: *según mi Evangelio*[30].

8 De los restantes seguidores de Pablo, Crescente está probado que fue enviado por él a las Galias[31]; y Lino, del que hace mención en la *II carta a Timoteo* indicando que se halla con él en Roma[32], ya queda anteriormente demostrado[33] que fue designado para el episcopado de la iglesia de Roma, el primero después de Pedro.

5 Τιμόθεός γε μήν τῆς ἐν Ἐφέσῳ παροικίας ἱστορεῖται πρῶτος τὴν ἐπισκοπὴν εἰληχέναι, ὡς καὶ Τίτος τῶν ἐπὶ Κρήτης ἐκκλησιῶν.

6 Λουκᾶς δὲ τὸ μὲν γένος ὢν τῶν ἀπ' Ἀντιοχείας, τὴν ἐπιστήμην δὲ ἰατρός, τὰ πλεῖστα συγγεγονὼς τῷ Παύλῳ, καὶ τοῖς λοιποῖς δὲ οὐ παρέργως τῶν ἀποστόλων ὡμιληκώς, ἧς ἀπὸ τούτων προσεκτήσατο ψυχῶν θεραπευτικῆς ἐν δυσὶν ἡμῖν ὑποδείγματα θεοπνεύστοις κατέλιπεν βιβλίοις, τῷ τε εὐαγγελίῳ, ὃ καὶ χαράξαι μαρτύρεται καθ' ἃ παρέδοσαν αὐτῷ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, οἷς καί φησιν ἔτ' ἄνωθεν ἅπασι παρηκολουθηκέναι, καὶ ταῖς τῶν ἀποστόλων Πράξεσιν, ἃς οὐκέτι δι' ἀκοῆς, ὀφθαλμοῖς δὲ παραλαβὼν συνετάξατο.

7 φασὶν δ' ὡς ἄρα τοῦ κατ' αὐτὸν εὐαγγελίου μνημονεύειν ὁ Παῦλος εἴωθεν, ὁπηνίκα ὡς περὶ ἰδίου τινὸς εὐαγγελίου γράφων ἔλεγεν «κατὰ τὸ εὐαγγέλιόν μου».

8 τῶν δὲ λοιπῶν ἀκολούθων τοῦ Παύλου Κρήσκης μὲν ἐπὶ τὰς Γαλλίας στειλάμενος ὑπ' αὐτοῦ μαρτυρεῖται, Λίνος δέ, οὗ μέμνηται συνόντος ἐπὶ Ῥώμης αὐτῷ κατὰ τὴν δευτέραν πρὸς Τιμόθεον ἐπιστολήν, πρῶτος μετὰ Πέτρον τῆς Ῥωμαίων ἐκκλησίας τὴν ἐπισκοπὴν ἤδη πρότερον κληρωθεὶς δεδήλωται·

[26] 1 Tim 1,3. cf. G. SCHOELLGEN, *Monepiskopat und monarchischen Episkopat. Eine Bemerkung zur Terminologie*: ZNWKAK 77 (1986) 146-151; H. KRAFT, *Dalla «Chiesa» originaria all' episcopato monarchico*: Rivista di Storia e letteratura religiosa 22 (1986) 411-438.

[27] Tit 1,5.

[28] Col 4,14; que fuera antioqueno su linaje no quiere decir, necesariamente, nacido allí. Eusebio parece ser el primero en hacer a Lucas oriundo de Antioquía, sin que sepamos cuál es su fuente. El padre M. J. Lagrange (*L'Évangile selon Saint Luc* [París 1921] p.XIII) sugiere el nombre de Julio Africano.

[29] Cf. Lc 1,2-3; *infra* 24,15.

[30] Rom 2,16; 2 Tim 2,8; cf. SAN JERÓNIMO, *De vir. ill.* 7.

[31] 2 Tim 4,10; sobre la evangelización, un poco tardía, de la Galia, cf. H. GRÉGOIRE, *Les persécutions dans l'empire romain* (Bruxelas 1951) p.17 y 96-100; sobre el alcance de la controversia suscitada por este tema, véase C. SPICQ, *Saint Paul. Les Épîtres Pastorales*, t.2 (Paris [2]1969) p.811-813.

[32] 2 Tim 4,21.

[33] Cf. *supra* 2.

9 Mas también Pablo atestigua que Clemente—instituido asimismo tercer obispo de la Iglesia de Roma—fue su colaborador y compañero de lucha [34].

10 Además de éstos, está también el areopagita aquel, llamado Dionisio, del cual escribió Lucas en los *Hechos* [35] que fue el primero que creyó después del discurso de Pablo a los atenienses en el Areópago, y del que otro antiguo Dionisio, pastor de la iglesia de Corinto, cuenta [36] que fue el primer obispo de Atenas.

11 Mas, a medida que avancemos en el camino, iremos diciendo oportunamente, según las épocas, lo referente a la sucesión de los apóstoles. Ahora sigamos el hilo de la narración.

## 5

### [Del último asedio de los judíos después de Cristo]

1 Después de haber ejercido el poder Nerón durante trece años [37], y habiendo durado los reinados de Galba y de Otón un año y seis meses [38], Vespasiano, que se había distinguido en las operaciones bélicas contra los judíos, fue nombrado emperador en la misma Judea, tras ser proclamado señor absoluto por el ejército

**9** ἀλλὰ καὶ ὁ Κλήμης, τῆς Ῥωμαίων καὶ αὐτὸς ἐκκλησίας τρίτος ἐπίσκοπος καταστάς, Παύλου συνεργὸς καὶ συναθλητὴς γεγονέναι πρὸς αὐτοῦ μαρτυρεῖται.

**10** ἐπὶ τούτοις καὶ τὸν Ἀρεοπαγίτην ἐκεῖνον, Διονύσιος ὄνομα αὐτῷ, ὃν ἐν ταῖς Πράξεσι μετὰ τὴν ἐν Ἀρείῳ πάγῳ πρὸς Ἀθηναίους Παύλου δημηγορίαν πρῶτον πιστεῦσαι ἀνέγραψεν ὁ Λουκᾶς, τῆς ἐν Ἀθήναις ἐκκλησίας πρῶτον ἐπίσκοπον ἀρχαίων τις ἕτερος Διονύσιος, τῆς Κορινθίων παροικίας ποιμήν, γεγονέναι ἱστορεῖ.

**11** ἀλλὰ γὰρ ὁδῷ προβαίνουσιν, ἐπὶ καιροῦ τὰ τῆς κατὰ χρόνους τῶν ἀποστόλων διαδοχῆς ἡμῖν εἰρήσεται· νῦν δ' ἐπὶ τὰ ἑξῆς ἴωμεν τῆς ἱστορίας.

### Ε'

**1** Μετὰ Νέρωνα δέκα πρὸς τρισὶν ἔτεσιν τὴν ἀρχὴν ἐπικρατήσαντα τῶν ἀμφὶ Γάλβαν καὶ Ὄθωνα ἐνιαυτὸν ἐπὶ μησὶν ἓξ διαγενομένων, Οὐεσπασιανός, ταῖς κατὰ Ἰουδαίων παρατάξεσιν λαμπρυνόμενος, βασιλεὺς ἐπ' αὐτῆς ἀναδείκνυται τῆς Ἰουδαίας, αὐτοκράτωρ πρὸς τῶν αὐτόθι στρατοπέδων ἀναγορευθείς. τὴν ἐπὶ Ῥώμης οὖν αὐτίκα στειλάμενος, Τίτῳ τῷ παιδὶ τὸν κατὰ Ἰουδαίων ἐγχειρίζει πόλεμον.

[34] Flp 4,3. Eusebio sigue probablemente a Orígenes (*In Ioann. Comm.* 6,54 (36), en una identificación que carece de todo fundamento. Cf. *infra* 15, donde insiste.

[35] Act 17,34.

[36] Cf. *infra* IV 23,3.

[37] Cf. Josefo, BI 4 (9,2) 491; exactamente trece años y ocho meses (desde el 13 de octubre del 54 hasta su suicidio, el 9 de junio del 68); cf. M. T. Griffin, *Nero. The end of a dynasty* (Londres 1984); P. Keresztes, *Nero, the Christians and the Jews in Tacitus and Clement of Rome:* Latomus 43 (1984) 404-413.

[38] Galba duró hasta su asesinato, el 15 de enero del 69; Otón, que le sucedió, se suicidó tres meses más tarde, el 14 ó 17 de abril; los ocho meses restantes corresponden al reinado de Vitelio, asesinado el 20-21 de diciembre del 69, del que Eusebio nada dice.

allí acampado [39]. Encaminándose, pues, en seguida hacia Roma, puso en manos de su hijo Tito la guerra contra los judíos [40].

2 Después de la ascensión de nuestro Salvador, los judíos añadieron al crimen cometido contra él la invención de innumerables asechanzas contra sus apóstoles: Esteban fue el primero que eliminaron, lapidándolo [41]; después de él, Santiago, hijo de Zebedeo y hermano de Juan, al que decapitaron [42]; y después de todos, Santiago, el que después de la ascensión de nuestro Salvador fue el primero que se designó para el trono episcopal de Jerusalén y murió de la manera que ya hemos dicho [43]. Y los demás apóstoles sufrieron mil asechanzas de muerte y fueron expulsados de la tierra de Judea. Sin embargo, con el poder de Cristo [44], que les había dicho: *Id y haced discípulos de todas las naciones en mi nombre* [45], dirigieron sus pasos hacia todas las naciones para enseñar el mensaje.

3 Y no sólo ellos. También el pueblo de la iglesia de Jerusalén, por seguir un oráculo remitido por revelación a los notables del lugar, recibieron la orden de cambiar de ciudad antes de la guerra y habitar cierta ciudad de Perea que recibe el nombre de Pella [46]. Emigrados a ella desde Jerusalén los que creían en Cristo, desde ese momento, como si los hombres santos hubieran abandonado por

2 μετά γε μὴν τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν Ἰουδαίων πρός τῷ κατ' αὐτοῦ τολμήματι ἤδη καὶ κατὰ τῶν ἀποστόλων αὐτοῦ πλείστας ὅσας ἐπιβουλὰς μεμηχανημένων, πρώτου τε Στεφάνου λίθοις ὑπ' αὐτῶν ἀνῃρημένου, εἶτα δὲ μετ' αὐτὸν Ἰακώβου, ὃς ἦν Ζεβεδαίου μὲν παῖς, ἀδελφὸς δὲ Ἰωάννου, τὴν κεφαλὴν ἀποτμηθέντος, ἐπὶ πᾶσί τε Ἰακώβου, τοῦ τὸν αὐτόθι τῆς ἐπισκοπῆς θρόνον πρώτου μετὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀνάληψιν κεκληρωμένου, τὸν προδηλωθέντα τρόπον μεταλλάξαντος, τῶν τε λοιπῶν ἀποστόλων μυρία εἰς θάνατον ἐπιβεβουλευμένων καὶ τῆς μὲν Ἰουδαίας γῆς ἀπεληλαμένων, ἐπὶ δὲ τῇ τοῦ κηρύγματος διδασκαλίᾳ τὴν εἰς σύμπαντα τὰ ἔθνη στειλαμένων πορείαν σὺν δυνάμει τοῦ Χριστοῦ, φήσαντος αὐτοῖς «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου»,

3 οὐ μὴν ἀλλὰ καὶ τοῦ λαοῦ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας κατά τινα χρησμὸν τοῖς αὐτόθι δοκίμοις δι' ἀποκαλύψεως ἐκδοθέντα πρὸ τοῦ πολέμου μεταναστῆναι τῆς πόλεως καί τινα τῆς Περαίας πόλιν οἰκεῖν κεκελευσμένου, Πέλλαν αὐτὴν ὀνομάζουσιν, [ἐν ᾗ] τῶν εἰς Χριστὸν πεπιστευκότων ἀπὸ τῆς Ἱερουσαλὴμ μετῳκισμένων, ὡς ἂν παντελῶς ἐπιλελοιπότων ἁγίων ἀνδρῶν αὐτήν τε τὴν Ἰουδαίων βασιλικὴν μητρόπολιν καὶ σύμπασαν τὴν Ἰουδαίαν γῆν, ἡ ἐκ

[39] Cf. JOSEFO, BI 4 (11,5) 658; en cambio TÁCITO, *Hist.* 2,79 y SUETONIO, *Vesp.* 6, concuerdan en que fue proclamado en Alejandría, por obra del prefecto de Egipto Tiberio Julio Alejandro, el 1 de julio del 69, y sólo algunos días más tarde, el 3 o el 11, en Cesarea, cf. SCHUERER, 1 p.622.

[40] Antes de ir a Roma, Vespasiano volvió a Alejandría, donde permaneció un año; llegó a Roma hacia octubre del 70; cf. SCHUERER, 1 p.623.

[41] Act 7,58-60.

[42] Act 12,2.

[43] *Supra* II 23,4ss.

[44] Cf. EPIFANIO, *Haer.* 29,7.

[45] Mt 28,19.

[46] Eusebio es el único que menciona el oráculo que precedió a la emigración. El relato de ésta seguramente lo tomó de las *Memorias* de Hegesipo, en las que debía de seguir al del martirio de Santiago. San Epifanio, bebió en las mismas fuentes; lo repite en tres pasajes: *Haer.* 29,7; 30,2; *De mens. et ponder.* 15,2-5. H. J. SCHOEPS, *Theologie und Geschichte der Judenchristentums* (Tubinga 1949) p.262ss; B. C. GRAY, *The movements of the Jerusalem Church during the first Jewish War*: The Journal of ecclesiastical history 24 (1973) 1-7.

completo la misma metrópoli real de los judíos y toda la región de Judea, la justicia divina alcanzó a los judíos por las iniquidades que cometieron contra Cristo y sus apóstoles, y borró de entre los hombres aquella misma generación de impíos.

4 Quien quiera, pues, saber con exactitud los males que entonces afluyeron sobre toda la nación en todo lugar, y cómo en especial los habitantes de Judea se vieron empujados hasta el fondo de las calamidades, cuántos millares de jóvenes, de mujeres y de niños perecieron por la espada, por el hambre o por otros innumerables géneros de muerte, y cuántas y cuáles ciudades de Judea fueron sitiadas, y también cuántos horrores y más que horrores contemplaron los que se refugiaron en la misma Jerusalén, por ser metrópoli muy fortificada, así como la índole de toda la guerra, los acontecimientos que en ella se sucedieron y cómo, finalmente, la abominación de la desolación anunciada por los profetas [47] se instaló en el mismo templo de Dios, tan célebre antiguamente, que sufrió toda suerte de destrucción y, por último, fue aniquilado por el fuego: todo esto lo hallará en la narración escrita por Josefo [48].

5 Pero es necesario señalar que este mismo autor refiere que el número de los que de toda Judea se concentraron los días de la fiesta de la Pascua en Jerusalén, como en una cárcel, por decirlo con sus palabras, era de unos tres millones.

6 Se imponía, pues, el que en los días en que habían dispuesto la pasión del Salvador y bienhechor de todos y Cristo de Dios, en

θεοῦ δίκη λοιπόν αὐτοὺς ἅτε τοσαῦτα εἴς τε τόν Χριστόν καὶ τοὺς ἀποστόλους αὐτοῦ παρηνομηκότας μετῄει, τῶν ἀσεβῶν ἄρδην τὴν γενεὰν αὐτὴν ἐκείνην ἐξ ἀνθρώπων ἀφανίζουσα.

4 ὅσα μὲν οὖν τηνικάδε κατὰ πάντα τόπον ὅλῳ τῷ ἔθνει συνερρύη κακά, ὅπως τε μάλιστα οἱ τῆς Ἰουδαίας οἰκήτορες εἰς ἔσχατα περιηλάθησαν συμφορῶν, ὁπόσαι τε μυριάδες ἡβηδὸν γυναιξὶν ἅμα καὶ παισὶ ξίφει καὶ λιμῷ καὶ μυρίοις ἄλλοις εἴδεσι περιπεπτώκασιν θανάτου, πόλεών τε Ἰουδαϊκῶν ὅσαι τε καὶ οἷαι γεγόνασιν πολιορκίαι, ἀλλὰ καὶ ὁπόσα οἱ ἐπ' αὐτὴν Ἱερουσαλὴμ ὡς ἂν ἐπὶ μητρόπολιν ὀχυρωτάτην καταπεφευγότες δεινὰ καὶ πέρα δεινῶν ἑοράκασι, τοῦ τε παντὸς πολέμου τὸν τρόπον καὶ τῶν ἐν τούτῳ γεγενημένων ἐν μέρει ἕκαστα, καὶ ὡς ἐπὶ τέλει τὸ πρὸς τῶν προφητῶν ἀνηγορευμένον βδέλυγμα τῆς ἐρημώσεως ἐν αὐτῷ κατέστη τῷ πάλαι τοῦ θεοῦ περιβοήτῳ νεῷ, παντελῆ φθορὰν καὶ ἀφανισμὸν ἔσχατον τὸν διὰ πυρὸς ὑπομείναντι, πάρεστιν ὅτῳ φίλον, ἐπ' ἀκριβὲς ἐκ τῆς τῷ Ἰωσήπῳ γραφείσης ἀναλέξασθαι ἱστορίας.

5 ὡς δὲ ὁ αὐτὸς οὗτος τῶν ἀθροισθέντων ἀπὸ τῆς Ἰουδαίας ἁπάσης ἐν ἡμέραις τῆς τοῦ πάσχα ἑορτῆς ὥσπερ ἐν εἱρκτῇ ῥήμασιν αὐτοῖς ἀποκλεισθῆναι εἰς τὰ Ἱεροσόλυμα ἀμφὶ τριακοσίας μυριάδας τὸ πλῆθος ἱστορεῖ, ἀναγκαῖον ὑποσημήνασθαι.

6 χρῆν δ' οὖν ἐν αἷς ἡμέραις τὸν πάντων σωτῆρα καὶ εὐεργέτην Χριστόν τε τοῦ θεοῦ τὰ κατὰ τὸ πάθος διατέθεινται, ταῖς αὐταῖς ὥσπερ ἐν εἱρκτῇ κατακλεισθέντας τὸν μετελθόντα αὐτοὺς ὄλεθρον πρὸς τῆς θείας δίκης καταδέξασθαι.

[47] Dan 9,27; 12,11; cf. Mt 24,15; Mc 13-14.

[48] JOSEFO, BI 6 (9,3) 425-(9,4) 428; cf. S. G. F. BRANDON, *The Fall of Jerusalem and the Christian Church. A Study of the Effects of the Jewish Overthrow of A. D. 70 on Christianity* (Londres 1951).

esos mismos, encerrados como en una cárcel, recibieran la ruina que los alcanzaba de parte de la justicia de Dios.

7 Mas pasando por alto lo que les fue sobreviniendo y los intentos que hubo contra ellos con la espada y de otras maneras, creo necesario aducir solamente las calamidades causadas por el hambre, para que quienes lean este escrito puedan saber en parte cómo no tardó mucho en alcanzarles el castigo divino por su crimen contra el Cristo de Dios.

# 6

## [Del hambre que oprimió a los judíos]

1 Así, pues, si tomas otra vez en tus manos el libro V de las *Historias* de Josefo, lee la tragedia de lo acontecido entonces:

«Para los ricos—dice—quedarse era igual que perderse, pues, so pretexto de que desertaban, a cualquiera lo asesinaban por sus bienes. Con el hambre crecía la desesperación de los rebeldes y de día en día la una y la otra se encendían terriblemente.

2 »El trigo estaba invisible, pero ellos irrumpían en las casas y las registraban. Entonces, si lo encontraban, los maltrataban por haber negado; si no lo encontraban, los torturaban por haberlo escondido tan cuidadosamente. La prueba de tener o de no tener eran los cuerpos de los desgraciados: los que todavía se tenían de pie parecía que abundaban en alimentos; a los que estaban ya consumidos, los dejaban en paz: les parecía fuera de razón matar a los que en seguida morirían de inanición.

7 Παρελθὼν δῆτα τῶν ἐν μέρει συμβεβηκότων αὐτοῖς ὅσα διὰ ξίφους καὶ ἄλλῳ τρόπῳ κατ' αὐτῶν ἐγκεχείρηται, μόνας τὰς διὰ τοῦ λιμοῦ ἀναγκαῖον ἡγοῦμαι συμφορὰς παραθέσθαι, ὡς ἂν ἐκ μέρους ἔχοιεν οἱ τῇδε τῇ γραφῇ ἐντυγχάνοντες εἰδέναι ὅπως αὐτοὺς τῆς εἰς τὸν Χριστὸν τοῦ θεοῦ παρανομίας οὐκ εἰς μακρὸν ἡ ἐκ θεοῦ μετῆλθεν τιμωρία.

## Ϛ'

1 φέρε δὴ οὖν, τῶν Ἱστοριῶν τὴν πέμπτην τοῦ Ἰωσήπου μετὰ χεῖρας αὖθις ἀναλαβών, τῶν τότε πραχθέντων δίελθε τὴν τραγῳδίαν·

«τοῖς γε μὴν εὐπόροις» φησί «καὶ τὸ μένειν πρὸς ἀπωλείας ἴσον ἦν· προφάσει γὰρ αὐτομολίας ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δ' ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζεν, καὶ καθ' ἡμέραν ἀμφότερα προσεξεκάετο τὰ δεινά.

2 »φανερὸς μέν γε οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ διηρεύνων τὰς οἰκίας, ἔπειθ' εὑρόντες μὲν ὡς ἀρνησαμένους ᾐκίζοντο, μὴ εὑρόντες δὲ ὡς ἐπιμελέστερον κρύψαντας ἐβασάνιζον. τεκμήριον δὲ τοῦ τ' ἔχειν καὶ μή, τὰ σώματα τῶν ἀθλίων· ὧν οἱ μὲν ἔτι συνεστῶτες εὐπορεῖν τροφῆς ἐδόκουν, οἱ τηκόμενοι δὲ ἤδη παρωδεύοντο, καὶ κτείνειν ἄλογον ἐδόκει τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα.

3 »Muchos daban ocultamente sus bienes a cambio de una medida de trigo si eran ricos; de cebada los más pobres. Luego se encerraban en lo más oculto de sus casas y, aguijoneados por la necesidad, los unos se comían el trigo en crudo; los otros lo cocían a medida que la necesidad y el miedo se lo dictaban.

4 »No se ponía la mesa, antes bien, sacaban del fuego la comida todavía cruda y la devoraban. El alimento era misérrimo y el espectáculo deplorable: los más poderosos acaparando y los débiles lamentándose.

5 »El hambre excede a todos los sufrimientos, pero de nada es tan destructor como del sentido de la dignidad, pues lo que en otro tiempo se tendría por digno de respeto se lo desprecia en tiempo de hambre. Así, las mujeres arrebataban los alimentos de las mismas bocas de sus maridos, los hijos de las de sus padres y, lo que es lamentable por demás, las madres de las bocas de sus hijitos, y mientras los seres más queridos se consumían entre sus manos, nada les frenaba de arrebatarles las últimas gotas que les hacían vivir.

6 »Pero aun siendo tal su comida, no quedaba oculta. Por todas partes se echaban encima los rebeldes en busca de esta presa. Cuando veían una casa cerrada, era señal de que los de dentro habían conseguido comida, y al punto rompían las puertas y se precipitaban dentro, y sólo les faltaba ya apretar las gargantas y arrancarles el bocado.

7 »Golpeaban a los ancianos que no soltaban sus alimentos y arrancaban el cabello a las mujeres que escondían lo que tenían entre manos. No había compasión ni por los viejos ni por los niños, sino que levantaban a los niños que se aferraban a su bocado y los

3 »πολλοὶ δὲ λάθρα τὰς κτήσεις ἑνὸς ἀντικατηλλάξαντο μέτρου, πυρῶν μέν, εἰ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κριθῆς· ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ μυχαίτατα τῶν οἰκιῶν, τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον ἤσθιον, οἱ δ' ἔπεσσον ὡς ἥ τε ἀνάγκη καὶ τὸ δέος παρῄνει, καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο,

4 »τοῦ δὲ πυρὸς ὑφέκοντες ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον. ἐλεεινὴ δ' ἦν ἡ τροφὴ καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατωτέρων πλεονεκτούντων, τῶν δὲ ἀσθενῶν ὀδυρομένων.

5 »πάντων δὴ παθῶν ὑπερίσταται λιμός, οὐδὲν δ' οὕτως ἀπόλλυσιν ὡς αἰδώς· τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀνδρῶν καὶ παῖδες πατέρων καί, τὸ οἰκτρότατον, μητέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφάς, καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς.

6 »τοιαῦτα δ' ἐσθίοντες, ὅμως οὐ διελάνθανον, πανταχοῦ δ' ἐφίσταντο οἱ στασιασταὶ καὶ τούτων ταῖς ἁρπαγαῖς. ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν τοῦτο τοὺς ἔνδον προσφέρεσθαι τροφήν, εὐθέως δ' ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῶν φαρύγγων ἀναθλίβοντες τὰς ἀκόλους ἀνέφερον.

7 »ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κόμης ἐσπαράσσοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν, οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων, ἀλλὰ συνεπαίροντες τὰ παιδία τῶν ψωμῶν

dejaban caer contra el suelo. Con los que, adelantándose a su irrupción, se tragaban antes lo que ellos habían de arrebatarles eran aún más crueles, como si hubieran recibido una injusticia.

8 »Discurrían espantosos métodos de tortura para descubrir comida: obstruían a los desgraciados la uretra con granos de legumbre y les traspasaban el recto con varas puntiagudas. Se padecían tormentos que espantan con sólo oírlos, hasta confesar la posesión de un solo pan y descubrir un solo puñado de harina escondida.

9 »Mas los torturadores no pasaban hambre alguna—que su crueldad sería mucho menor de mediar necesidad—, sino que ejercitaban su loco orgullo y se iban haciendo con provisiones para los días por venir.

10 »Salían al paso de los que de noche se arrastraban hasta las avanzadas romanas para recoger legumbres agrestes y hierbas. Cuando ya éstos pensaban haber escapado de los enemigos, aquéllos les arrebataban lo que llevaban, y muchas veces que los infelices suplicaban invocando por el terrible nombre de Dios que les dejaran una parte de lo que con tanto peligro habían traído, no les dejaban ni tanto así, y aún podían estar contentos si, además de quedar despojados, no eran asesinados»[49].

11 A esto, después de otras cosas, añade:

«Con las salidas se les cortó a los judíos también toda esperanza de salvación, y el hambre, abatiéndose de casa en casa y de familia en familia, iba devorando al pueblo. Los terrados se llenaban de mujeres y de niños de pecho fallecidos, y las callejuelas, de cadáveres de ancianos.

ἐκκρεμάμενα κατέσειον εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν καὶ προκαταπιοῦσιν τὸ ἁρπαγησόμενον ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι,

8 »δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ' ὀξείαις ἀναπείροντες τὰς ἕδρας· τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου καὶ ἵνα μηνύσῃ δράκα μίαν κεκρυμμένων ἀλφίτων.

9 »οἱ βασανισταὶ δ' οὐδ' ἐπείνων (καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετὰ ἀνάγκης), γυμνάζοντες δὲ τὴν ἀπόνοιαν καὶ προπαρασκευάζοντες ἑαυτοῖς εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια.

10 »τοῖς δ' ἐπὶ τὴν 'Ρωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας ὑπαντῶντες, ὅτ' ἤδη διαπεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαζον τὰ κομισθέντα, καὶ πολλάκις ἱκετευόντων καὶ τὸ φρικτότατον ἐπικαλουμένων ὄνομα τοῦ θεοῦ μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁτιοῦν μετέδοσαν, ἀγαπητὸν δ' ἦν τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον».

11 τούτοις μεθ' ἕτερα ἐπιφέρει λέγων:

«'Ιουδαίοις δὲ μετὰ τῶν ἐξόδων ἀπεκόπη πᾶσα σωτηρίας ἐλπίς, καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐπεβόσκετο, καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυμένων, οἱ στενωποὶ δὲ γερόντων νεκρῶν,

[49] JOSEFO, BI 5 (10,2) 424-(10,3) 438.

12 »Muchachos y jóvenes, hinchados, vagaban por las plazas como espectros y caían muertos allí donde los cogía un dolor. Los enfermos no tenían fuerzas para enterrar a sus parientes, y los que hubieran podido, se negaban, por ser tantos los muertos y por la incertidumbre de su propio destino. En efecto, muchos caían muertos junto a los recién enterrados por ellos, y muchos iban a sus tumbas antes que la necesidad se lo impusiera.

13 »No había lamentos ni lloros en estas calamidades: el hambre ahogaba los sentimientos, y los que iban lentamente muriendo contemplaban con ojos secos a los que morían antes que ellos. Un silencio profundo y una noche preñada de muerte envolvía a la ciudad. Y peor que todo esto eran los ladrones.

14 »Penetraban en las casas como ladrones de tumbas, despojaban a los cadáveres y, después de arrancar los velos que cubrían los cuerpos, se marchaban entre risas. Y probaban el filo de sus espadas en los cadáveres y, probando el hierro, atravesaron a algunos que, aunque caídos, aún vivían. Pero si alguno les pedía que utilizaran en él su fuerza y su espada, lo desdeñaban y lo abandonaban al hambre. Y todo el que expiraba miraba fijamente hacia el templo, porque dejaba vivos tras sí a los rebeldes.

15 »Estos, al comienzo, por no soportar el hedor, mandaban que se enterrara a los muertos a expensas del tesoro público, pero luego, cuando ya no se daba abasto, los arrojaban por las murallas a los barrancos. Cuando Tito hizo la ronda por aquellos barrancos y vio que estaban repletos de cadáveres y el espeso líquido oscuro que manaba por debajo de los cadáveres en putrefacción, se puso

**12** »παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο καὶ κατέπιπτον ὅπῃ τινὰ τὸ πάθος καταλαμβάνοι. θάπτειν δὲ τοὺς προσήκοντας οὔτε ἴσχυον οἱ κάμνοντες καὶ τὸ διευτονοῦν ὤκνει διά τε τὸ πλῆθος τῶν νεκρῶν καὶ τὸ κατὰ σφᾶς ἄδηλον· Πολλοὶ γοῦν τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον, πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπιστῆναι τὸ χρεών, προῆλθον.

**13** »οὔτε δὲ θρῆνος ἐν ταῖς συμφοραῖς οὔτε ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη, ξηροῖς δὲ τοῖς ὄμμασιν οἱ δυσθανατοῦντες ἐθεώρουν τοὺς φθάσαντας ἀναπαύσασθαι, βαθεῖα δὲ τὴν πόλιν περιεῖχεν σιγὴ καὶ νὺξ θανάτου γέμουσα.

**14** »καὶ τούτων οἱ λῃσταὶ χαλεπώτεροι. τυμβωρυχοῦντες γοῦν τὰς οἰκίας, ἐσύλων τοὺς νεκρούς, καὶ τὰ καλύμματα τῶν σωμάτων περισπῶντες, μετὰ γέλωτος ἐξῄεσαν, τάς τε ἀκμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασιν, καί τινας τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πείρᾳ τοῦ σιδήρου, τοὺς δ' ἱκετεύοντας χρῆσαι σφίσιν δεξιὰν καὶ ξίφος, τῷ λιμῷ κατέλιπον ὑπερηφανοῦντες, καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενὲς εἰς τὸν ναὸν ἀφεώρα, τοὺς στασιαστὰς ζῶντας ἀπολιπών.

**15** »οἳ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες· ἔπειθ' ὡς οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς τὰς φάραγγας. περιιὼν δὲ ταύτας ὁ Τίτος ὡς ἐθεάσατο πεπλεσμένας τῶν νεκρῶν καὶ βαθὺν ἰχῶρα μυδώντων τὸν ὑπορρέοντα τῶν σωμάτων, ἐστέναξέν τε καὶ τὰς χεῖρας ἀνατείνας κατεμαρτύρατο τὸν θεόν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ».

a gemir y levantando las manos tomaba a Dios por testigo de que aquello no era obra suya»[50].

16 Después de añadir algunas cosas continúa diciendo:

«Yo no podría desistir de expresar lo que el sentimiento me ordena: creo que, si los romanos hubieran demorado su acción contra los culpables, el abismo se hubiera tragado a la ciudad, o las aguas la hubieran sumergido, o la hubieran alcanzado los rayos de Sodoma, pues la generación que encerraba era mucho más impía que las que sufrieron esos castigos. Y por la demencia criminal de estas gentes, el pueblo entero pereció con ellos»[51].

17 Y en el libro VI escribe lo siguiente:

«De los que perecieron en la ciudad por el hambre, el número fue infinito, y los padecimientos, indecibles. En cada casa había guerra como apareciese en un rincón una sombra de comida, y los que más se querían entre sí venían a las manos por arrebatarse el miserable sostén de la vida. Ni siquiera en los moribundos confiaba la necesidad.

18 »Los ladrones registraban incluso a los que estaban expirando, no fuera que alguno escondiese alimentos bajo el vestido y fingiese estar muerto. Otros, con la boca abierta por efecto de la desnutrición, andaban tambaleándose y desencajados como perros rabiosos y empujaban las puertas como hacen los borrachos y, en su impotencia, entraban en las mismas casas dos y tres veces en una sola hora.

19 »La necesidad les hacía llevarse todo a la boca y, cuando recogían alimentos incluso indignos de los animales irracionales más

**16** τούτοις ἐπειπών τινα μεταξὺ ἐπιφέρει λέγων·

«οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν ἅ μοι κελεύει τὸ πάθος. οἶμαι Ῥωμαίων βραδυνάντων ἐπὶ τοὺς ἀλιτηρίους, ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος ἢ κατακλυσθῆναι τὴν πόλιν ἢ τοὺς τῆς Σοδομηνῆς μεταλαβεῖν κεραυνούς· πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγκεν γενεὰν ἀθεωτέραν· τῇ γοῦν τούτων ἀπονοίᾳ πᾶς ὁ λαὸς συναπώλετο».

**17** καὶ ἐν τῷ ἕκτῳ δὲ βιβλίῳ οὕτως γράφει

«τῶν δ' ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος, ἀδιήγητα δὲ συνέβαινεν τὰ πάθη. καθ' ἑκάστην γὰρ οἰκίαν, εἴ που τροφῆς παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια, πίστις δ' ἀπορίας οὐδὲ τοῖς θνῄσκουσιν ἦν,

**18** »ἀλλὰ καὶ τοὺς ἐμπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τροφήν, σκήπτοιτο τὸν θάνατον αὐτῷ. οἳ δ' ὑπ' ἐνδείας κεχηνότες ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο καὶ παρεφέροντο ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον καὶ ὑπ' ἀμηχανίας τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ μιᾷ.

**19** »πάντα δ' ὑπ' ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζῴων πρόσφορα συλλέγοντες ἐσθίειν ὑπέφερον. ζωστήρων γοῦν

[50] Josefo, BI 5 (12,3) 512-(12,4) 519.
[51] Josefo, BI 5 (13,6) 566. Nótese la tendencia de Josefo a la apologética en pro de la acción romana en Palestina.

repugnantes, se los llevaban a escondidas para comérselos, y así terminaron por no abstenerse ni siquiera de los cinturones y del calzado, y quitaban las pieles de sus escudos y las masticaban. Para algunos eran alimento incluso las briznas de la hierba vieja, y otros recogían fibras de plantas y vendían una mínima porción por cuatro dracmas áticos [52].

20 »¿Y qué habría que decir de la impudencia de las gentes presa del desánimo? Porque voy a mostrar una obra suya cual no se encuentra narrada ni entre los griegos ni entre los bárbaros, espantosa para decirla, increíble para escucharla. Yo al menos, para no dar la impresión de que estoy inventando para la posteridad, de buena gana omitiría esta calamidad si no tuviera infinidad de testigos contemporáneos míos. Y además prestaría a mi patria un favor bien menguado si renunciara a relatar los males que de hecho ha padecido.

21 »Una mujer de las que habitaban a la otra orilla del Jordán, llamada María, hija de Eleazar, de la aldea de Batezor—nombre que significa 'casa de hisopo'—notable por sus riquezas y su linaje, huyó a Jerusalén con el resto de la muchedumbre y con ella compartía el asedio.

22 »Los tiranos le arrebataron todos los otros bienes que había reunido y llevado consigo a la ciudad desde Perea. Lo demás de su ajuar y el poco alimento que apercibieron se lo fueron arrebatando las gentes armadas que cada día entraban. Fue tremenda la indignación de aquella pobre mujer, que muchas veces injuriaba y maldecía a los ladrones para excitarlos contra sí misma.

καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέσχοντο καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασῶντο, τροφὴ δ' ἦν καὶ χόρτου τισὶν παλαιοῦ σπαράγματα· τὰς γὰρ ἶνας ἔνιοι συλλέγοντες, ἐλάχιστον σταθμὸν ἐπώλουν 'Αττικῶν τεσσάρων.

20 »καὶ τί δεῖ τὴν ἐπ' ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἰμι γὰρ αὐτοῦ δηλώσων ἔργον ὁποῖον μήτε παρ' Ἕλλησιν μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ' ἀκοῦσαι. καί ἔγωγε, μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ' ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας· ἄλλως τε καὶ ψυχρὰν ἂν καταθείμην τῇ πατρίδι χάριν, καθυφέμενος τὸν λόγον ὧν πέπονθε τὰ ἔργα.

21 »γυνὴ τῶν ὑπὲρ 'Ιορδάνην κατοικούντων, Μαρία τοὔνομα, πατρὸς 'Ελεαζάρου, κώμης Βαθεζὼρ (σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου), διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ 'Ιεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο.

22 »ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς Περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν, τὰ δὲ λείψανα τῶν κειμηλίων κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ' ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα καὶ καταρωμένη τοὺς ἅρπαγας ἐφ' ἑαυτὴν ἠρέθιζεν.

52 Cf. Eusebio, *Theoph.* 4,21.

23 »Pero como nadie la mataba, movidos por la ira o por la compasión, y cansada de buscar alimentos para otros, que ya era imposible encontrar en parte alguna, con las entrañas y la medula traspasadas por el hambre y encendido su ánimo más por la rabia que por el hambre, tomó como consejeros a la cólera y a la necesidad y se lanzó contra la naturaleza. Agarró el hijo que tenía—niño de pecho todavía—y dijo:

24 »¡Criatura desgraciada! En medio de la guerra, del hambre y de la revuelta, ¿para quién voy a guardarte? Entre los romanos, si por acaso caemos vivos en sus manos, la esclavitud; pero el hambre se anticipa a la misma esclavitud y los rebeldes son aún peores que ambas cosas. ¡Ea! sé alimento para mí, maldición para los rebeldes y fábula para el mundo: lo único que faltaba a las calamidades de los judíos!

25 »Y al tiempo que iba diciendo estas cosas, dio muerte a su hijo. Después lo asó y se comió la mitad; el resto lo guardó escondido. En seguida se presentaron los rebeldes y, husmeando la tufarada impía, amenazaron a la mujer con degollarla inmediatamente si no les mostraba lo que tenía preparado. Ella entonces les dijo que para ellos guardaba una hermosa porción y descubrió lo que quedaba de su hijo.

26 »El horror y el pasmo los sobrecogió al punto y quedaron clavados en el sitio ante aquel espectáculo. Pero ella dijo: Es mi propio hijo y yo lo hice. Comed, que también yo he comido. No seáis más blandos que una mujer ni más compasivos que una madre. Pero si vosotros por escrúpulos piadosos rehusáis mi sacrificio, yo he comido ya por vosotros, quede el resto también para mí.

23 »ὡς δ' οὔτε παροξυνόμενός τις οὔτ' ἐλεῶν αὐτὴν ἀνῄρει καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ' ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἐχώρει καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης, ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον, ἦν δ' αὐτῇ παῖς ὑπομάστιος, ἁρπασαμένη,

24 »‹βρέφος›, εἶπεν, ‹ἄθλιον, ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει, τίνι σε τηρῶ; τὰ μὲν παρὰ 'Ρωμαίοις δουλεία κἂν ζήσωμεν ἐπ' αὐτούς, φθάνει δὲ καὶ δουλείαν ὁ λιμός, οἱ στασιασταὶ δὲ ἀμφοτέρων χαλεπώτεροι, ἴθι, γενοῦ μοι τροφὴ καὶ τοῖς στασιασταῖς ἐρινὺς καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων ταῖς 'Ιουδαίων συμφοραῖς›.

25 »καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες, ἠπείλουν, εἰ μὴ δείξειεν τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως· ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψεν.

26 »τοὺς δ' εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ᾕρει, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. ἡ δ', ‹ἐμόν›, ἔφη, ‹τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα· μὴ γένησθε μήτε μαλακώτεροι γυναικὸς μήτε συμπαθέστεροι μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ὑμῖν βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μεινάτω›.

27 »Después de esto, aquéllos se marcharon temblando: era la única vez que se acobardaban y que, mal de su grado, cedían a la madre semejante comida. En seguida la ciudad entera se llenó de horror, y todo el mundo se estremecía al representarse ante los ojos el crimen como si fuera propio.

28 »Y entre los hambrientos había prisa por morir y cierta envidia de los que se habían adelantado muriendo antes de escuchar y contemplar semejantes horrores»[53].

Tal fue la recompensa de los judíos por su iniquidad e impiedad para con el Cristo de Dios.

## 7

### [De las profecías de Cristo]

1 Justo es añadir la predicación infalible de nuestro Salvador por la cual mostraba estas mismas cosas cuando profetizaba así: *Mas ¡ay de las que estén encinta o criando en aquellos días! Orad para que vuestra huida no tenga lugar en invierno ni en sábado. Porque habrá entonces una gran tribulación como no la hubo desde el comienzo del mundo hasta ahora ni la habrá*[54].

2 Reuniendo el número total de muertos, el escritor dice[55] que por el hambre y por la espada habían perecido un millón cien mil personas; que los rebeldes y bandidos que aún quedaban se fueron denunciando unos a otros después de la toma de la ciudad

**27** »μετὰ ταῦθ' οἱ μὲν τρέμοντες ἐξῄεσαν, πρὸς ἓν τοῦτο δειλοὶ καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες, ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων ὡς παρ' αὐτῷ τολμηθέν, ἔφριττεν.

190 El Ponto era la tierra natal de Marción (cf. *supra* 11,8), el cual proscribía el matrimonio (cf. TERTULIANO, *Adv. Marc.* 1,29,5); Dionisio parece tener en cuenta esta circunstancia. El dato de la «aceptación» del pecador—incluso del hereje convertido—es importante para la historia de la penitencia; cf. A. D'ALES, *L'Édit de Calliste. Étude sur les origines de la pénitence chrétienne* (París 1914) p.128-199; P. GALTIER, *L'Église et la rémission des péchés aux premiers siècles* (París 1932) p.257-58; G. MAY, *Marcione nel suo tempo*: Cristianesimo nella storia 14 (1993) 205-220.

191 Cf. Mt 11,30; Act 15,28.

192 Cf. 1 Cor 3,1-2; Heb 5,12-14.

193 Cf. *supra* II 25,8.

las frases en que el autor aprueba la costumbre romana, observada hasta la persecución de nuestros días, cuando escribe:

10 «Porque desde el principio tenéis esta costumbre, la de hacer el bien de múltiples maneras a todos los hermanos y enviar provisiones por cada ciudad a muchas iglesias; remediáis así la pobreza de los necesitados y, con las provisiones que desde el principio estáis enviando, atendéis a los hermanos que se hallan en las minas, conservando así, como romanos que sois, una costumbre romana transmitida de padres a hijos, costumbre que vuestro bienaventurado obispo Sotero no solamente ha mantenido, sino que incluso la ha incrementado, suministrando, por una parte, socorros abundantes para enviar a los santos, y, por otra, como padre que ama tiernamente a los suyos [194], consolando con afortunadas palabras a los hermanos que llegan a él».

11 En esta misma carta menciona también la de Clemente *A los Corintios* [195], mostrando que se venía haciendo lectura de la misma en la iglesia desde tiempo atrás por costumbre antigua [196]; dice así:

«Hoy, pues, hemos celebrado el día santo del Señor y hemos leído vuestra carta. Continuaremos leyéndola de vez en cuando para amonestación [197] nuestra, lo mismo que la primera que nos fue escrita por medio de Clemente» [198].

12 Y el mismo, hablando todavía de sus propias cartas, que habían sido falsificadas, dice lo siguiente:

οἷον τὸ καὶ παραθέσθαι λέξεις δι' ὧν τὸ μέχρι τοῦ καθ' ἡμᾶς διωγμοῦ φυλαχθὲν Ῥωμαίων ἔθος ἀποδεχόμενος ταῦτα γράφει

10 «ἐξ ἀρχῆς γὰρ ὑμῖν ἔθος ἐστὶν τοῦτο, πάντας μὲν ἀδελφοὺς ποικίλως εὐεργετεῖν εκκλησίαις τε πολλαῖς ταῖς κατὰ πᾶσαν πόλιν ἐφόδια πέμπειν, ὧδε μὲν τὴν τῶν δεομένων πενίαν ἀναψύχοντας, ἐν μετάλλοις δὲ ἀδελφοῖς ὑπάρχουσιν ἐπιχορηγοῦντας δι' ὧν πέμπετε ἀρχῆθεν ἐφοδίων πατροπαράδοτον ἔθος Ῥωμαίων Ῥωμαῖοι φυλάττοντες, ὃ οὐ μόνον διατετήρηκεν ὁ μακάριος ὑμῶν ἐπίσκοπος Σωτήρ, ἀλλὰ καὶ ηὔξηκεν, ἐπιχορηγῶν μὲν τὴν διαπεμπομένην δαψίλειαν τὴν εἰς τοὺς ἁγίους, λόγοις δὲ μακαρίοις τοὺς ἀνιόντας ἀδελφούς, ὡς τέκνα πατὴρ φιλόστοργος, παρακαλῶν».

11 ἐν αὐτῇ δὲ ταύτῃ καὶ τῆς Κλήμεντος πρὸς Κορινθίους μέμνηται ἐπιστολῆς, δηλῶν ἀνέκαθεν ἐξ ἀρχαίου ἔθους ἐπὶ τῆς ἐκκλεσίας τὴν ἀνάγνωσιν αὐτῆς ποῖεσθαι λέγει γοῦν

«τὴν σήμερον οὖν κυριακὴν ἁγίαν ἡμέραν διηγάγομεν, ἐν ᾗ ἀνέγνωμεν ὑμῶν τὴν ἐπιστολήν, ἣν ἕξομεν ἀεί ποτε ἀναγινώσκοντες νουθετεῖσθαι, ὡς καὶ τὴν προτέραν ἡμῖν διὰ Κλήμεντος γραφεῖσαν.»

12 ἔτι δ' ὁ αὐτὸς καὶ περὶ τῶν ἰδίων ἐπιστολῶν ὡς ῥᾳδιουργηθεισῶν ταῦτά φησιν

194 Cf. 1 Tes 2,11-12.

195 Esta expresión de Eusebio es la que se ha hecho tradicional, a pesar de que, en las palabras de Dionisio y en las suyas propias (cf. *supra* III 16), aparece bien claro que la carta es de la iglesia de Roma.

196 Esto no quiere decir que en Corinto se tuviera por canónica.

197 Cf. *supra* II 25,8.

198 La carta de Dionisio es, pues, respuesta a la que había recibido de los romanos, escrita sin duda «por ministerio» de Sotero, igual que «la primera» lo fuera «por ministerio de Clemente». Lo más probable es que Dionisio diga «primera», no por relación a una «segunda de Clemente», sino en relación con la «segunda de la iglesia de Roma», esto es, la misma de que está hablando, escrita «por ministerio» de Sotero.

«Yo escribí, efectivamente, unas cartas después de rogarme algunos hermanos que las escribiera. Pero esos apóstoles del diablo las han llenado de cizaña [199], suprimiendo unas cosas y añadiendo otras. Sobre ellos pesa el '*¡Ay de vosotros!*' [200]. En verdad no hay que extrañarse de que algunos también se hayan echado sobre las Escrituras del Señor, para falsificarlas, cuando han conspirado incluso contra las que no son tan importantes» [201].

13 Y además de éstas, hay aún otra carta de Dionisio que escribe *A Crisófora* [202], hermana llena de fe. A ésta le escribe lo que le corresponde y le suministra el alimento espiritual adecuado.

Tal es lo que atañe a Dionisio [203].

## 24

### [De Teófilo, obispo de Antioquía]

De Teófilo, al que ya mencionamos como obispo de la iglesia de Antioquía [204], poseemos los tres libros elementales dirigidos *A Autólico* [205], y otro que tiene por título *Contra la herejía de Hermógenes*, en el cual utiliza testimonios sacados del *Apocalipsis* de Juan. De él se poseen también algunos otros libros de catequesis.

Por entonces los herejes seguían con no menor empeño corrompiendo, como cizaña [206], la limpia simiente de la enseñanza apostólica, y los pastores de las iglesias de todo lugar los ahuyentaban

«ἐπιστολὰς γὰρ ἀδελφῶν ἀξιωσάντων με γράψαι ἔγραψα. καὶ ταύτας οἱ τοῦ διαβόλου ἀπόστολοι ζιζανίων γεγέμικαν, ἃ μὲν ἐξαιροῦντες, ἃ δὲ προστιθέντες· οἷς τὸ οὐαὶ κεῖται. οὐ θαυμαστὸν ἄρα εἰ καὶ τῶν κυριακῶν ῥᾳδιουργῆσαί τινες ἐπιβέβληνται γραφῶν, ὁπότε καὶ ταῖς οὐ τοιαύταις ἐπιβεβουλεύκασιν.»

13 καὶ ἄλλη δέ τις παρὰ ταύτας ἐπιστολὴ τοῦ Διονυσίου φέρεται Χρυσοφόρᾳ πιστοτάτῃ ἀδελφῇ ἐπιστείλαντος, ᾗ τὰ κατάλληλα γράφων, τῆς προσηκούσης καὶ αὐτῇ μετεδίδου λογικῆς τροφῆς. καὶ τὰ μὲν τοῦ Διονυσίου τοσαῦτα·

ΚΔ'

τοῦ δὲ Θεοφίλου, ὃν τῆς Ἀντιοχέων ἐκκλησίας ἐπίσκοπον δεδηλώκαμεν, τρία τὰ πρὸς Αὐτόλυκον στοιχειώδη φέρεται συγγράμματα, καὶ ἄλλο Πρὸς τὴν αἵρεσιν Ἑρμογένους τὴν ἐπιγραφὴν ἔχον, ἐν ᾧ ἐκ τῆς Ἀποκαλύψεως Ἰωάννου κέχρηται μαρτυρίαις· καὶ ἕτερα δέ τινα κατηχητικὰ αὐτοῦ φέρεται βιβλία. τῶν γε μὴν αἱρετικῶν οὐ χεῖρον καὶ τότε ζιζανίων δίκην λυμαινομένων τὸν εἰλικρινῆ τῆς ἀποστολικῆς διδασκαλίας σπόρον, οἱ πανταχόσε τῶν ἐκκλησιῶν ποιμένες, ὥσπερ

199 Cf. Mt 13,25.
200 Ap 22,18-19.
201 Cf. G. Bardy, *Faux et fraudes littéraires dans l'antiquité chrétienne:* RHE 32 (1936) 5-23.275-302; W. Speyer, *Die literarische Fälschung in Altertum* (Munich 1971) p.171ss.
202 Desconocida.
203 Es todo lo que se conserva de sus cartas.
204 Cf. *supra* 20.
205 Es la única obra que se conserva; cf. D. Ruiz Bueno, *Padres Apologistas griegos (s.II):* BAC 116 (Madrid 1954) p.768-873.
206 Cf. Mt 13,25.

de entre las ovejas [207] de Cristo como a bestias salvajes y los rechazaban, ora mediante las advertencias y exhortaciones dirigidas a los hermanos, ora poniéndoles en evidencia con preguntas y refutaciones orales, cara a cara, y también corrigiendo sus opiniones con argumentos bien precisos por medio de tratados escritos. Teófilo, al menos, con los otros, peleó contra ellos, según lo declara cierto tratado suyo nada vulgar *Contra Marción*, tratado que, junto con otros de que ya hemos hablado, se ha conservado hasta hoy [208].

A Teófilo le sucedió Maximino, séptimo de la iglesia de Antioquía a partir de los apóstoles [209].

# 25

## [De Felipe y de Modesto]

Felipe, a quien por las palabras de Dionisio hemos conocido como obispo de la iglesia de Gortina [210], ha compuesto también un importantísimo tratado *Contra Marción*. Y lo mismo Ireneo y Modesto [211]; éste, incluso mejor que los demás, descubrió para evidencia de todos el error de ese hombre, lo mismo que otros muchos, cuyas obras se conservan todavía entre numerosos hermanos hasta hoy.

τινὰς θῆρας ἀγρίους τῶν Χριστοῦ προβάτων ἀποσοβοῦντες, αὐτοὺς ἀνεῖργον τοτὲ μὲν ταῖς πρὸς τοὺς ἀδελφοὺς νουθεσίαις καὶ παραινέσεσιν, τοτὲ δὲ πρὸς αὐτοὺς γυμνότερον ἀποδυόμενοι, ἀγράφοις τε εἰς πρόσωπον ζητήσεσι καὶ ἀνατροπαῖς, ἤδη δὲ καὶ δι' ἐγγράφων ὑπομνημάτων τὰς δόξας αὐτῶν ἀκριβεστάτοις ἐλέγχοις διευθύνοντες. ὅ γέ τοι Θεόφιλος σὺν τοῖς ἄλλοις κατὰ τούτων στρατευσάμενος δῆλός ἐστιν ἀπό τινος οὐκ ἀγεννῶς αὐτῷ κατὰ Μαρκίωνος πεπονημένου λόγου, ὃς καὶ αὐτὸς μεθ' ὧν ἄλλων εἰρήκαμεν εἰς ἔτι νῦν διασέσωσται. τοῦτον μὲν οὖν ἕβδομος ἀπὸ τῶν ἀποστόλων τῆς Ἀντιοχέων ἐκκλησίας διαδέχεται Μαξιμῖνος.

## ΚΕ'

Φίλιππός γε μήν, ὃν ἐκ τῶν Διονυσίου φωνῶν τῆς ἐν Γορτύνῃ παροικίας ἐπίσκοπον ἔγνωμεν, πάνυ γε σπουδαιότατον πεποίηται καὶ αὐτὸς κατὰ Μαρκίωνος λόγον, Εἰρηναῖός τε ὡσαύτως καὶ Μόδεστος, ὃς καὶ διαφερόντως παρὰ τοὺς ἄλλους τὴν τοῦ ἀνδρὸς εἰς ἔκδηλον τοῖς πᾶσιν κατεφώρασε πλάνην, καὶ ἄλλοι δὲ πλείους, ὧν παρὰ πλείστοις τῶν ἀδελφῶν εἰς ἔτι νῦν οἱ πόνοι διαφυλάττονται.

[207] Cf. Jn 10,11.
[208] Como las demás obras, excepto los tres libros *A Autólico*, se ha perdido. El intento de reconstrucción realizado por F. Loofs, *Theophilus von Antiochien Adversus Marcionem und die anderen theol. Quellen bei Irenäus:* TU 46,2 (Leipzig 1930) 10-100.397-431, no ha convencido.
[209] Pero no en la fecha indicada en la *Crónica ad annum* 177 (Helm, p.207). Tiene que haber sido después de la muerte de Marco Aurelio (17 marzo 180), pues a ella se refiere Teófilo en *Ad Autolicum* 3,27.
[210] Cf. *supra* 23,5.
[211] Nada se sabe de los tratados de Felipe y de Modesto *Contra Marción* aquí mencionados. Debieron de perderse igual que los de Justino (cf. *supra* 11,8), de Rodón (cf. *infra* V 13,1) y de Teófilo (cf. *supra* 24).

# 26

## [De Melitón y de los que él menciona]

1 En este tiempo florecían también, muy destacados, Melitón [212], obispo de la iglesia de Sardes, y Apolinar [213], de la de Hierápolis. Los dos, cada uno en particular, dirigieron al emperador romano ya mencionado de aquel tiempo sendos tratados apologéticos en favor de la fe.

2 De ellos han llegado hasta nosotros las obras siguientes. De Melitón, los dos libros *Sobre la Pascua* [214] y el libro *Sobre la conducta y sobre los profetas* [215]; los tratados *Sobre la Iglesia* y *Sobre el domingo;* además, otros *Sobre la fe del hombre* [216], *Sobre la creación* y *Sobre la obediencia de los sentidos a la fe* [217]; y aparte de éstos, los tratados *Sobre el alma y el cuerpo*... (...) [218], *Sobre el bautismo y sobre la verdad y sobre la fe y el nacimiento de Cristo* [219]; un libro *Sobre su*

ΚϚʹ

1 Ἐπὶ τῶνδε καὶ Μελίτων τῆς ἐν Σάρδεσιν παροικίας ἐπίσκοπος Ἀπολινάριός τε τῆς ἐν Ἱεραπόλει διαπρεπῶς ἤκμαζον, οἳ καὶ τῷ δηλωθέντι κατὰ τοὺς χρόνους Ῥωμαίων βασιλεῖ λόγους ὑπὲρ τῆς πίστεως ἰδίως ἑκάτερος ἀπολογίας προσεφώνησαν.

2 τούτων εἰς ἡμετέραν γνῶσιν ἀφῖκται τὰ ὑποτεταγμένα· Μελίτωνος, τὰ Περὶ τοῦ πάσχα δύο καὶ τὸ Περὶ πολιτείας καὶ προφητῶν καὶ ὁ Περὶ ἐκκλησίας καὶ ὁ Περὶ κυριακῆς λόγος, ἔτι δὲ ὁ Περὶ πίστεως ἀνθρώπου καὶ ὁ Περὶ πλάσεως καὶ ὁ Περὶ ὑπακοῆς πίστεως αἰσθητηρίων καὶ πρὸς τούτοις ὁ Περὶ ψυχῆς καὶ σώματος ηνενοισ καὶ ὁ Περὶ λουτροῦ καὶ περὶ

212 Cf. Eusebio, *Chronic. ad annum* 170: HELM, p.206.
213 Cf. *Chronic. ad annum* 170: HELM, p.206.
214 Dos libros, o parte de una sola obra, que, con mayor probabilidad, se identifica con el περὶ πάσχα, transmitido por los papiros griegos y publicado en la colección «Sources Chrétiennes» n.123: *Méliton de Sardes, Sur la Pâque et Fragments:* Introduction, texte critique, traduction et notes par Othmar Perler (París 1966). O. Perler coloca la composición de esta obra entre 160 y 170 (p.24); cf. M. van Esbroeck, *Nouveaux fragments de Méliton de Sardes dans une homélie géorgienne sur la Croix:* AB 90 (1972) 63-99, que confirma la tesis de O. Perler. Traducción española y nueva edición del texto, por J. Ibáñez y F. Mendoza (Pamplona 1975); cf. E. Lucchesi, *Deux nouveaux témoins coptes du «Peri Parcha» de Méliton de Sardes:* AB 102 (1984) 383-393.
215 Rufino traduce dos títulos y dos libros: *De optima conversatione* liber unus, sed et *De prophetis*. San Jerónimo, en cambio, hace una sola obra: *De vita prophetarum librum unum*, en *De vir. ill.* 24.
216 El Ms A da φύσεως en vez de πίστεως: *Sobre la naturaleza del hombre*. San Jerónimo *(De vir. ill.* 24) lo titula *De fide*, sin más.
217 Cf. Heb 5,9; 2 Tes 1,8. Rufino da también aquí dos títulos: *De oboedientia fidei, De sensibus*. San Jerónimo *(De vir. ill.* 24) hace expresamente dos libros: *De sensibus librum unum, De fide librum unum.*
218 En los Mss DB, después de σώματος siguen siete letras que no dan sentido alguno. MS y Jerónimo han prescindido de ellas; ATER traen ἢ νοὸς (y Rufino *et mente*, suponiendo καὶ en vez de ἢ), mientras que Schwartz sospecha que esto sea corrección de un anterior ἢ ἑνός; por su parte, G. Bardy, en nota a este pasaje en su traducción de HE, propone como posible ἑνώσεως. Según estas conjeturas, el título completo sería: *Sobre el alma y el cuerpo o sobre el uno;* cf. O. Perler, o.c., p.11 nota 4.
219 El texto por el que se ha decidido Schwartz permite suponer que los términos bautismo, verdad, fe y nacimiento forman un solo título introducido por el único artículo ὁ, título que expresaría los cuatro capítulos o temas fundamentales de la obra; cf. O. Perler, o.c., p.12 n.1. Por su parte, Rufino traduce títulos y obras diferentes, lo mismo que San Jerónimo. Para Schwartz, sin embargo, no solamente estos cuatro términos, sino todos los que siguen, hasta σώματος inclusive, son títulos de capítulos de una sola obra.

*profecía*[220]; y *Sobre el alma y el cuerpo*[221], *Sobre la hospitalidad, La llave*[222] y los escritos *Sobre el diablo y el Apocalipsis de Juan*[223] y el libro *Sobre Dios encarnado*[224]; y, además de todos ellos, incluso un librito *A Antonino*[225].

3 Al comenzar, pues, el libro *Sobre la Pascua*, indica el tiempo en que lo compuso, en estos términos:

«Bajo el procónsul de Asia Servilio Pablo[226], tiempo en que Sagaris[227] sufrió martirio, hubo en Laodicea muchas disputas acerca de la Pascua, que precisamente caía en aquellos días, y se escribió esto».

4 De este tratado hace mención Clemente de Alejandría en el suyo propio *Sobre la Pascua*, que él mismo dice haber compuesto por causa del escrito de Melitón.

Y en el librito dirigido al emperador cuenta Melitón que, bajo éste, se dieron contra nosotros cosas tales como éstas:

5 «Porque esto jamás había ocurrido; ahora se persigue al lina-

ἀληθείας καὶ περὶ πίστεως καὶ γενέσεως Χριστοῦ καὶ λόγος αὐτοῦ προφητείας καὶ περὶ ψυχῆς καὶ σώματος καὶ ὁ Περὶ φιλοξενίας καὶ ἡ Κλεὶς καὶ τὰ Περὶ τοῦ διαβόλου καὶ τῆς Ἀποκαλύψεως Ἰωάννου καὶ ὁ Περὶ ἐνσωμάτου θεοῦ, ἐπὶ πᾶσι καὶ τὸ Πρὸς Ἀντωνῖνον βιβλίδιον.

3 ἐν μὲν οὖν τῷ Περὶ τοῦ πάσχα τὸν χρόνον καθ' ὃν συνέταττεν, ἀρχόμενος σημαίνει ἐν τούτοις

«ἐπὶ Σερουιλλίου Παύλου ἀνθυπάτου τῆς Ἀσίας, ᾧ Σάγαρις καιρῷ ἐμαρτύρησεν, ἐγένετο ζήτησις πολλὴ ἐν Λαοδικείᾳ περὶ τοῦ πάσχα, ἐμπεσόντος κατὰ καιρὸν ἐν ἐκείναις ταῖς ἡμέραις, καὶ ἐγράφη ταῦτα».

4 τούτου δὲ τοῦ λόγου μέμνηται Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ἰδίῳ περὶ τοῦ πάσχα λόγῳ, ὃν ὡς ἐξ αἰτίας τῆς τοῦ Μελίτωνος γραφῆς φησιν ἑαυτὸν συντάξαι. ἐν δὲ τῷ πρὸς τὸν αὐτοκράτορα βιβλίῳ τοιαῦτά τινα καθ' ἡμῶν ἐπ' αὐτοῦ γεγονέναι ἱστορεῖ

5 «τὸ γὰρ οὐδεπώποτε γενόμενον,

[220] Rufino traduce *De prophetia eius*, y el siríaco, *Sobre la palabra de su profecía;* San Jerónimo (l.c.) la titula: *De prophetia sua*. En todos estos casos parece que se trata de la profecía referente a Cristo. En cambio, la lectura λόγος αὐτοῦ περὶ προφητείας de los Mss $AT^{r}T^{c}ERM$ parece aludir más bien a la profecía en sí misma.

[221] Este título puede ser repetición inútil del ya citado más arriba, por lo que habría que suprimirlo sin más, como hacen TER y Jerónimo. Pero no se excluye la probabilidad de que realmente sea una obra distinta o que deba unirse—formando una sola obra—al título que precede (así Puech), a todo lo anterior desde περὶ λουτροῦ (así Schwartz) o incluso al título que sigue.

[222] La versión siríaca suprime este título.

[223] En el texto se trata sólo de una obra; sin embargo, Rufino y Jerónimo distinguen dos.

[224] Literalmente, *Sobre Dios hecho cuerpo*, pero el sentido real es el de «encarnado»; cf. O. Perler, o.c., p.13 n.1.

[225] Sin duda se trata de una apología, a juzgar por los extractos que Eusebio va a citar en los párrafos 5-11.

[226] En vez de Servilio, Rufino (quizás por reminiscencias de Act 13,7) escribe «Sergio». Los historiadores están de su parte, aunque Schwartz advierte que es un acierto puramente casual. De hecho no se conoce en todo el siglo II un procónsul llamado Servilio Pablo. En cambio, se sabe que un L. Sergio Pablo fue cónsul por segunda vez en 168, y prefecto de Roma antes de este segundo consulado; cf. E. Westermaier, *Sergius Paulus:* Pauly-Wissova, Supplement. t.6, col.818. Lo más probable es que antes hubiera ejercido el cargo de procónsul de Asia entre 164 y 166, o acaso antes, porque después no parece probable. Y si el nombre equivocado fuera Paulus y hubiera que leer Pudens, hallamos que un Q. Servilio Pudens fue cónsul en 166, por lo que el proconsulado de Asia sería posterior a esta fecha; cf. O. Perler, o.c., p.23-24.

[227] Aparece de nuevo *infra* V 24,5, nombrado por Polícrates como testigo de la práctica cuartodecimana, con la indicación de que era obispo, circunstancia que aquí omite Eusebio.

je de los adoradores de Dios [228], afectados en Asia por nuevos edictos [229]. Efectivamente, los desvergonzados sicofantes y amadores de lo ajeno, tomando pie de las prescripciones, andan robando abiertamente, y de noche y de día expolian a los que nada malo cometieron».

6 Y después de otras cosas dice:

«Y si esto se hace porque tú lo mandas, bien hecho está, porque nunca un emperador justo podría querer algo injustamente, y nosotros soportamos con gusto el honor de tal muerte. Una sola petición, sin embargo, te dirigimos: que tú mismo examines primero a los causantes de semejante rivalidad y juzgues con justicia si son dignos de muerte y de castigo, o bien de quedar salvos y tranquilos. Pero si no proceden de ti esta determinación y este nuevo edicto —que ni siquiera contra enemigos bárbaros sería conveniente—, con mayor razón te pedimos que no nos abandones, indiferente en semejante latrocinio público».

7 A lo dicho añade aún esto:

«Efectivamente, nuestra filosofía [230] alcanzó su plena madurez entre bárbaros, pero habiéndose extendido también a tus pueblos bajo el gran imperio de tu antepasado Augusto, se ha convertido, sobre todo para tu reinado, en un buen augurio, pues desde entonces la fuerza de los romanos ha crecido en grandeza y esplendor. De ella eres tú el deseado heredero y seguirás siéndolo con tu hijo,

νῦν διώκεται τὸ τῶν θεοσεβῶν γένος καινοῖς ἐλαυνόμενον δόγμασιν κατὰ τὴν Ἀσίαν. οἱ γὰρ ἀναιδεῖς συκοφάνται καὶ τῶν ἀλλοτρίων ἐρασταὶ τὴν ἐκ τῶν διαταγμάτων ἔχοντες ἀφορμήν, φανερῶς λῃστεύουσι, νύκτωρ καὶ μεθ' ἡμέραν διαρπάζοντες τοὺς μηδὲν ἀδικοῦντας.»

6 καὶ μεθ' ἕτερά φησιν

«καὶ εἰ μὲν σοῦ κελεύσαντος τοῦτο πράττεται, ἔστω καλῶς γινόμενον· δίκαιος γὰρ βασιλεὺς οὐκ ἂν ἀδίκως βουλεύσαιτο πώποτε, καὶ ἡμεῖς ἡδέως φέρομεν τοῦ τοιούτου θανάτου τὸ γέρας· ταύτην δέ σοι μόνην προσφέρομεν δέησιν ἵνα αὐτὸς πρότερον ἐπιγνοὺς τοὺς τῆς τοιαύτης φιλονεικίας ἐργάτας, δικαίως κρίνειας εἰ ἄξιοι θανάτου καὶ τιμωρίας ἢ σωτηρίας καὶ ἡσυχίας εἰσίν. εἰ δὲ καὶ παρὰ σοῦ μὴ εἴη ἡ βουλὴ αὕτη καὶ τὸ καινὸν τοῦτο διάταγμα, ὃ μηδὲ κατὰ βαρβάρων πρέπει πολεμίων, πολὺ μᾶλλον δεόμεθά σου μὴ περιιδεῖν ἡμᾶς ἐν τοιαύτῃ δημώδει λεηλασίᾳ.»

7 τούτοις αὖθις ἐπιφέρει λέγων

«ἡ γὰρ καθ' ἡμᾶς φιλοσοφία πρότερον μὲν ἐν βαρβάροις ἤκμασεν, ἐπανθήσασα δὲ τοῖς σοῖς ἔθνεσιν κατὰ τὴν Αὐγούστου τοῦ σοῦ προγόνου μεγάλην ἀρχήν, ἐγενήθη μάλιστα τῇ σῇ βασιλείᾳ αἴσιον ἀγαθόν. ἔκτοτε γὰρ εἰς μέγα καὶ λαμπρὸν τὸ Ῥωμαίων ηὐξήθη κράτος· οὗ σὺ διάδοχος εὐκταῖος γέγονάς τε καὶ ἔσῃ μετὰ τοῦ

228 Proceder contrario a la regla dada por Trajano, cf. *supra* III 33,2.

229 No hay noticias de tales edictos contra los cristianos, pero bien pudiera referirse a las decisiones tomadas por Marco Aurelio contra los que propagaban nuevas creencias, mas no específicamente contra los cristianos, y que se conservan en un fragmento de Modestín reproducido en las *Sentencias de Pablo* 5,21 y en el *Digesto* 48,29-30, y que sin duda dieron pie a abusos locales como los aquí denunciados, que produjeron víctimas (cf. *infra* V 24,5); así J. ZEILLER, *A propos d'un passage énigmatique de Méliton de Sardes relatif à la persécution contre les chrétiens:* Revue des Études Augustiniennes 2 (1956) 257-63; *Sur un passage énigmatique de l'Apologie de Méliton de Sardes:* Comptes Rendues de l'Académie des Inscriptions et Belles Lettres (1956) 312.

230 Cf. *supra* III 37,2 nota 288.

si proteges a la filosofía que se crió con el Imperio y comenzó a la vez que Augusto, y a la que tus antepasados incluso honraron al par que a las otras religiones.

8 »La prueba mayor de que nuestra doctrina floreció para bien junto con el Imperio felizmente comenzado es que, desde el reinado de Augusto, nada malo ha sucedido, antes, al contrario, todo ha sido brillante y glorioso, según las plegarias de todos.

9 »Entre todos, solamente Nerón y Domiciano, persuadidos por algunos hombres malévolos, quisieron calumniar a nuestra doctrina, y ocurre que de ellos derivó, por costumbre irracional, la mentira calumniosa contra tales personas.

10 »Pero tus píos padres enmendaron la ignorancia de aquellos reprendiendo por escrito muchas veces a cuantos se atrevieron a hacer innovaciones acerca de los cristianos. Entre ellos se destaca tu abuelo Adriano, que escribió a muchas y diferentes personas, incluido el procónsul Fundano [231], gobernador de Asia. Y también tu padre escribió a las ciudades sobre no innovar nada acerca de nosotros, incluso en los tiempos en que todo lo administrabas junto con él. Entre esos escritos se hallan los dirigidos a los habitantes de Larisa, a los tesalonicenses, a los atenienses y a todos los griegos [232].

11 »En cuanto a ti, que, sobre todo acerca de estos asuntos, tienes su mismo parecer y hasta mucho más humano y filosófico,

παιδός, φυλάσσων τῆς βασιλείας τὴν σύντροφον καὶ συναρξαμένην Αὐγούστῳ φιλοσοφίαν, ἣν καὶ οἱ πρόγονοί σου πρὸς ταῖς ἄλλαις θρησκείαις ἐτίμησαν,

8 καὶ τοῦτο μέγιστον τεκμήριον τοῦ πρὸς ἀγαθοῦ τὸν καθ' ἡμᾶς λόγον συνακμάσαι τῇ καλῶς ἀρξαμένῃ βασιλείᾳ, ἐκ τοῦ μηδὲν φαῦλον ἀπὸ τῆς Αὐγούστου ἀρχῆς ἀπαντῆσαι, ἀλλὰ τοὐναντίον ἅπαντα λαμπρὰ καὶ ἔνδοξα κατὰ τὰς πάντων εὐχάς.

9 »μόνοι πάντων, ἀναπεισθέντες ὑπό τινων βασκάνων ἀνθρώπων, τὸν καθ' ἡμᾶς ἐν διαβολῇ καταστῆσαι λόγον ἠθέλησαν Νέρων καὶ Δομετιανός, ἀφ' ὧν καὶ τό τῆς συκοφαντίας ἀλόγῳ συνηθείᾳ περὶ τοὺς τοιούτους ῥυῆναι συμβέβηκεν ψεῦδος·

10 »ἀλλὰ τὴν ἐκείνων ἄγνοιαν οἱ σοὶ εὐσεβεῖς πατέρες ἐπηνωρθώσαντο, πολλάκις πολλοῖς ἐπιπλήξαντες ἐγγράφως, ὅσοι περὶ τούτων νεωτερίσαι ἐτόλμησαν· ἐν οἷς ὁ μὲν πάππος σου Ἀδριανὸς πολλοῖς μὲν καὶ ἄλλοις, καὶ Φουνδανῷ δὲ τῷ ἀνθυπάτῳ, ἡγουμένῳ δὲ τῆς Ἀσίας, γράφων φαίνεται, ὁ δὲ πατήρ σου, καὶ σοῦ τὰ σύμπαντα διοικοῦντος αὐτῷ, ταῖς πόλεσι περὶ τοῦ μηδὲν νεωτερίζειν περὶ ἡμῶν ἔγραψεν, ἐν οἷς καὶ πρὸς Λαρισαίους καὶ πρὸς Θεσσαλονικεῖς καὶ Ἀθηναίους καὶ πρὸς πάντας Ἕλληνας.

11 »σὲ δὲ καὶ μᾶλλον περὶ τούτων τὴν αὐτὴν ἐκείνοις ἔχοντα γνώμην καὶ πολύ γε φιλανθρωποτέραν καὶ φιλοσοφωτέραν, πεπείσμεθα πάντα πράσσειν ὅσα σου δεόμεθα.»

[231] Cf. *supra* 9.

[232] De Antonino Pío se conservan varios rescriptos dirigidos a diversas corporaciones del Oriente—administrativas y políticas—, y escritos en griego (menos el conservado en CIL, III 411, dirigido a un particular de Esmirna); pero relativos a los cristianos no se conserva más que el dirigido al concilio de Asia, transcrito *supra* 13, y de cuya discutida autenticidad dimos noticia también *supra* 12,1 nota 76. R. Freudenberger, en el artículo allí citado, p.2, cree que Melitón alude aquí a dicho rescripto. G. Bardy, en nota a este pasaje de su traducción de HE, da como probable que fuera precisamente este pasaje de Melitón el que diera pie para la invención de dicho rescripto.

estamos persuadidos de que pondrás por obra todo lo que te pedimos».

12 Esto es lo que se dice en el tratado mencionado. Y en los *Extractos* por él escritos, el mismo Melitón, al comenzar, se hace en el prólogo un catálogo de los escritos admitidos del Antiguo Testamento, catálogo que es necesario enumerar aquí. Escribe así:

13 «Melitón a su hermano Onésimo: salud. Puesto que muchas veces, valiéndote de tu celo por la doctrina, has pedido tener para ti extractos de la Ley y de los Profetas acerca del Salvador y de toda nuestra fe; más aún, puesto que has querido saber de los libros antiguos con toda exactitud cuántos son en número y cuál es su orden, yo he puesto mi diligencia en hacerlo, sabiendo tu ardor por la fe y tu afán de saber acerca de la doctrina, ya que, en tu lucha por la salvación eterna y en tu ansia de Dios, prefieres eso más que todo.

14 »Así, pues, habiendo subido a Oriente y llegado hasta el lugar en que se proclamó y se realizó [233], me informé con exactitud de los libros del Antiguo Testamento [234]. Los he ordenado y te los envío. Sus nombres son: cinco de Moisés: *Génesis, Exodo, Números, Levítico, Deuteronomio; Jesús de Navé, Jueces, Rut;* cuatro de los *Reyes,* dos de los *Paralipómenos; Salmos de David; Proverbios de Salomón,* o también *Sabiduría; Eclesiastés, Cantar de los Cantares, Job;* de los profetas, *Isaías, Jeremías, los doce* en un solo libro, *Daniel, Ezequiel; Esdras.* De estos libros saqué yo los *Extractos,* que dividí en seis libros».

Y esto es lo que hay de Melitón.

**12** ἀλλὰ ταῦτα μὲν ἐν τῷ δηλωθέντι τέθειται λόγῳ· ἐν δὲ ταῖς γραφείσαις αὐτῷ Ἐκλογαῖς ὁ αὐτὸς κατὰ τὸ προοίμιον ἀρχόμενος τῶν ὁμολογουμένων τῆς παλαιᾶς διαθήκης γραφῶν ποιεῖται κατάλογον· ὃν καὶ ἀναγκαῖον ἐνταῦθα καταλέξαι, γράφει δὲ οὕτως

**13** «Μελίτων Ὀνησίμῳ τῷ ἀδελφῷ χαίρειν. ἐπειδὴ πολλάκις ἠξίωσας, σπουδῇ τῇ πρὸς τὸν λόγον χρώμενος, γενέσθαι σοι ἐκλογὰς ἔκ τε τοῦ νόμου καὶ τῶν προφητῶν περὶ τοῦ σωτῆρος καὶ πάσης τῆς πίστεως ἡμῶν, ἔτι δὲ καὶ μαθεῖν τὴν τῶν παλαιῶν βιβλίων ἐβουλήθης ἀκρίβειαν πόσα τὸν ἀριθμὸν καὶ ὁποῖα τὴν τάξιν εἶεν, ἐσπούδασα τὸ τοιοῦτο πρᾶξαι, ἐπιστάμενός σου τὸ σπουδαῖον περὶ τὴν πίστιν καὶ φιλομαθὲς περὶ τὸν λόγον ὅτι τε μάλιστα πάντων πόθῳ τῷ πρὸς τὸν θεὸν ταῦτα προκρίνεις, περὶ τῆς αἰωνίου σωτηρίας ἀγωνιζόμενος.

**14** »ἀνελθὼν οὖν εἰς τὴν ἀνατολὴν καὶ ἕως τοῦ τόπου γενόμενος ἔνθα ἐκηρύχθη καὶ ἐπράχθη, καὶ ἀκριβῶς μαθὼν τὰ τῆς παλαιᾶς διαθήκης βιβλία, ὑποτάξας ἔπεμψά σοι· ὧν ἐστι τὰ ὀνόματα· Μωυσέως πέντε, Γένεσις Ἔξοδος Ἀριθμοὶ Λευιτικὸν Δευτερονόμιον, Ἰησοῦς Ναυῆ, Κριταί Ῥούθ, Βασιλειῶν τέσσαρα, Παραλειπομένων δύο, Ψαλμῶν Δαυίδ, Σολομῶνος Παροιμίαι ἡ καὶ Σοφία, Ἐκκλησιαστής, Ἆισμα Ἀισμάτων, Ἰώβ, Προφητῶν Ἡσαΐου Ἱερεμίου τῶν δώδεκα ἐν μονοβίβλῳ Δανιὴλ Ἰεζεκιήλ, Ἔσδρας· ἐξ ὧν καὶ τὰς ἐκλογὰς ἐποιησάμην, εἰς ἓξ βιβλία διελών.»

καὶ τὰ μὲν τοῦ Μελίτωνος τοσαῦτα·

[233] Melitón, pues, fue, que sepamos, uno de los primeros que viajaron a los Santos Lugares en cuanto tales. Cf. A. E. Harvey, *Melito and Jerusalem:* JTS 17 (1966) 401-404.

[234] Melitón, como vemos, conocía la expresión «Antiguo Testamento». Lo que no pode-

# 27

## [De Apolinar]

De Apolinar [235], en cambio, aun siendo muchas las obras que se han conservado entre muchas gentes [236], hasta nosotros han llegado las siguientes: El *Discurso* dirigido al mencionado emperador [237], cinco libros *Contra los griegos*, dos *Sobre la verdad*, dos *Contra los judíos*, y también los que, después de éstos, escribió *Contra la herejía de los frigios*, que no mucho después iniciaría sus innovaciones, pero que ya entonces comenzaba como a despuntar, pues ya Montano, junto con sus falsas profetisas, andaba sentando los principios del descarrío [238].

## ΚΖʹ

τοῦ δʼ Ἀπολιναρίου πολλῶν παρὰ πολλοῖς σῳζομένων τὰ εἰς ἡμᾶς ἐλθόντα ἐστιν τάδε· λόγος ὁ πρὸς τὸν προειρημένον βασιλέα καὶ Πρὸς Ἕλληνας συγγράμματα πέντε καὶ Περὶ ἀληθείας αʹ βʹ καὶ Πρὸς Ἰουδαίους αʹ βʹ καὶ ἃ μετὰ ταῦτα συνέγραψε κατὰ τῆς τῶν Φρυγῶν αἱρέσεως, μετʼ οὐ πολὺν καινοτομηθείσης χρόνον, τότε γε μὴν ὥσπερ ἐκφύειν ἀρχομένης, ἔτι τοῦ Μοντανοῦ ἅμα ταῖς αὐτοῦ ψευδοπροφήτισιν ἀρχὰς τῆς παρεκτροπῆς ποιουμένου.

mos saber es si también conocía la correspondiente «Nuevo Testamento», que aparece por primera vez en el *Anónimo* antimontanista, *infra* V 16,3; cf. D. Barthélemy, *L'état de la Bible juive depuis le Début de notre ère jusqu'à la deuxième révolte contre Rome (131-135)*, en *Le canon de l'Ancien Testament* (cit. *supra* p.141 n.146), p.9-45.

235 De Claudio Apolinar, aparte lo que se dice aquí, en el capítulo anterior y más abajo, V 19,1, sabemos muy poco. Obispo de Hierápolis (cf. *infra* V 19,2), debió de dirigir su *Apología* al emperador Marco Aurelio cuando éste se hallaba solo en el trono, es decir, entre 169 y 177. R. M. Grant *(The Chronology of the Greek Apologists:* VigCh 9 [1955] 25ss) la sitúa entre 169 y 176. Todas sus obras se han perdido. Nada sabemos tampoco de los tratados señalados por el *Chronicon Paschale:* PG 92,80-81, y por Focio, *Biblioth.* cod. 14; cf. H. Schreckenberg, *Die christlichen Adversus-Judaeos-Texte und ihr literarisches und historisches Umfeld (.-XI. Jht)* = Europäische Hochschulschriften. Ser. XXIII. Theologie, 172 (Berna 1982).

236 Cf. San Jerónimo, *De vir. ill.* 26; cf. *infra* V 19,1.

237 Cf. *supra* 26,1.

238 Cf. *infra* V 16,19. Es difícil fijar con exactitud la fecha de aparición de un movimiento religioso, y más todavía del montanismo. Eusebio le asigna el año 171-172: *Chronic. ad annum* 171: HELM, p.206. En todo caso, bajo Marco Aurelio. Del mismo parecer es W. H. C. Frend *(A Note on the Chronology of the Matyrdom of Polycarp and the Outbreack of Montanism:* Oikumene. Studi paleocristiani in Onore del Conc. Vat. II [Catania 1964] p.504-506). En cambio, G. S. P. Freeman-Grenville (*The date of the Outbreak of Montanism:* The Journal of Ecclesiastical History 5 [1954] 7-15) prefiere atenerse a la fecha que da San Epifanio, esto es, hacia 156. J. M. Ford *(Was Montanism a Jewish-Christian Heresy?:* The Journal of Ecclesiastical History 17 [1966] 145-158) se inclina también por una fecha anterior a 172, a la vez que sugiere para esta «nueva profecía» un origen cristiano-judío de dos tipos: uno asiático —«babilónico»— y otro africano (p.158); cf. de nuevo W. H. C. Frend, *Montanism. Research and problems:* Rivista di storia e letteratura religiosa 20 (1984) 521-537.

# 28

## [De Musano]

Y también de Musano, citado en pasajes precedentes [239], se conserva cierto tratado, persuasivo por demás, que él escribió para algunos hermanos suyos que se inclinaban hacia la herejía de los llamados encratitas [240], que por entonces acababa de nacer y empezaba a introducir en la vida su extraño y pernicioso error.

# 29

## [De la herejía de Taciano]

1 Una tradición sostiene que el autor de este descarrío fue Taciano [241], cuyas palabras acerca del admirable Justino hemos citado hace poco [242], al dejar constancia de que fue discípulo del mártir. Y esto lo demuestra Ireneo en el libro primero de su obra *Contra las herejías*, donde escribe a la vez de él y de su herejía como sigue:

2 «Los llamados encratitas, que procedían de Saturnino y de Marción, proclamaban la abstención del matrimonio, rechazando así la primitiva creación de Dios y condenando indirectamente al

ΚΗ'

Καὶ Μουσανοῦ δέ, ὃν ἐν τοῖς φθάσασιν κατελέξαμεν, φέρεταί τις ἐπιστρεπτικώτατος λόγος, πρός τινας αὐτῷ γραφεὶς ἀδελφοὺς ἀποκλίναντας ἐπὶ τὴν τῶν λεγομένων Ἐγκρατιτῶν αἵρεσιν, ἄρτι τότε φύειν ἀρχομένην ξένην τε καὶ φθοριμαίαν ψευδοδοξίαν εἰσάγουσαν τῷ βίῳ·

ΚΘ'

1 ἧς παρεκτροπῆς ἀρχηγὸν καταστῆναι Τατιανὸν λόγος ἔχει, οὗ μικρῷ πρόσθεν τὰς περὶ τοῦ θαυμασίου Ἰουστίνου παρατεθείμεθα λέξεις, μαθητὴν αὐτὸν ἱστοροῦντες τοῦ μάρτυρος. δηλοῖ δὲ τοῦτο Εἰρηναῖος ἐν τῷ πρώτῳ τῶν πρὸς τὰς αἱρέσεις, ὁμοῦ τά τε περὶ αὐτοῦ καὶ τῆς κατ' αὐτὸν αἱρέσεως οὕτω γράφων.

2 «ἀπὸ Σατορνίνου καὶ Μαρκίωνος οἱ καλούμενοι Ἐγκρατεῖς ἀγαμίαν ἐκήρυξαν, ἀθετοῦντες τὴν ἀρχαίαν πλάσιν τοῦ θεοῦ καὶ ἠρέμα κατηγοροῦντες τοῦ ἄρρεν καὶ θῆλυ εἰς γένεσιν ἀνθρώπων

[239] Cf. *supra* 21. Eusebio parece aquí situarlo decididamente en tiempos de Marco Aurelio. En su *Crónica*, sin embargo, afirma que floreció bajo Severo, hacia 204 (ed. HELM, p.212).

[240] Sobre el encratismo, su historia y sus repercusiones posteriores, cf. G. Blond, *Encratisme: Dict. de Spiritualité* t.4, 1.ª, col.628-642; *infra* 29,2.

[241] Cf. *Chronic. ad annum* 172: HELM, p.206. Los principales datos biográficos se desprenden de su obra *Oratio ad Graecos* 19; 29; 35; 42. Sobre su herejía, véase San Epifanio, *Haer.* 46-47; L. W. Barnard, *The heresy of Tatian*: The Journal of Ecclesiastical History 19 (1968) 1-10.

[242] Cf. *supra* 16,7-9.

que hizo al varón y a la hembra [243] para engendrar hombres. Y en su ingratitud para con el Dios que todo lo creó [244], introdujeron también la abstención de lo que ellos llaman 'animado' y niegan la salvación del primer hombre.

3 »Esto mismo lo encontramos también ahora entre ellos, siendo un tal Taciano el primero en haber introducido esta blasfemia. Fue discípulo de Justino; mientras convivió con él, nada manifestó de tal especie, pero, después del martirio de Justino, se apartó de la Iglesia. Engreído por la creencia de ser un maestro e inflado por sentirse diferente de los demás, constituyó un tipo propio de escuela, inventó algunos eones invisibles—como hacían los secuaces de Valentín—, proclamó el matrimonio como corrupción y fornicación —igual que hicieron Marción y Saturnino—y de su propia cosecha negó la salvación de Adán» [245].

4 Esto es lo que Ireneo escribió por entonces. Pero algo más tarde, un hombre llamado Severo dio firmeza a la mencionada herejía y fue causa de que los miembros de la secta recibieran por él el nombre de severianos [246].

5 Estos utilizan, es verdad, la Ley, los Profetas y los Evangelios, interpretando de manera peculiar el pensamiento de las Sagradas Escrituras; pero, blasfemando del apóstol Pablo, rechazan sus *Cartas* [247] y ni siquiera aceptan los *Hechos de los Apóstoles*.

6 Sin embargo, Taciano, su primer cabecilla, compuso cierta combinación y agrupación—yo no sé cómo—de los Evangelios, a

πεποιηκότος, καὶ τῶν λεγομένων παρ' αὐτοῖς ἐμψύχων ἀποχὴν εἰσηγήσαντο, ἀχαριστοῦντες τῷ πάντα πεποιηκότι θεῷ, ἀντιλέγουσί τε τῇ τοῦ πρωτοπλάστου σωτηρίᾳ.

3 »καὶ τοῦτο νῦν ἐξευρέθη παρ' αὐτοῖς Τατιανοῦ τινος πρώτως ταύτην εἰσενέγκαντος τὴν βλασφημίαν· ὃς Ἰουστίνου ἀκροατὴς γεγονώς, ἐφ' ὅσον μὲν συνῆν ἐκείνῳ, οὐδὲν ἐξέφηνεν τοιοῦτον, μετὰ δὲ τὴν ἐκείνου μαρτυρίαν ἀποστὰς τῆς ἐκκλησίας, οἰήματι διδασκάλου ἐπαρθεὶς καὶ τυφωθεὶς ὡς διαφέρων τῶν λοιπῶν, ἴδιον χαρακτῆρα διδασκαλείου συνεστήσατο, αἰῶνάς τινας ἀοράτους ὁμοίως τοῖς ἀπὸ Οὐαλεντίνου μυθολογήσας γάμον τε φθορὰν καὶ πορνείαν παραπλησίως Μαρκίωνι καὶ Σατορνίνῳ ἀναγορεύσας, τῇ δὲ τοῦ Ἀδὰμ σωτηρίᾳ παρ' ἑαυτοῦ τὴν ἀντιλογίαν ποιησάμενος».

4 ταῦτα μὲν ὁ Εἰρηναῖος τότε· σμικρῷ δὲ ὕστερον Σευῆρός τις τοὔνομα κρατύνας τὴν προδεδηλωμένην αἵρεσιν, αἴτιος τοῖς ἐξ αὐτῆς ὡρμημένοις τῆς ἀπ' αὐτοῦ παρηγμένης Σευηριανῶν προσηγορίας γέγονεν.

5 χρῶνται μὲν οὖν οὗτοι νόμῳ καὶ προφήταις καὶ εὐαγγελίοις, ἰδίως ἑρμηνεύοντες τῶν ἱερῶν τὰ νοήματα γραφῶν· βλασφημοῦντες δὲ Παῦλον τὸν ἀπόστολον, ἀθετοῦσιν αὐτοῦ τὰς ἐπιστολάς, μηδὲ τὰς Πράξεις τῶν ἀποστόλων καταδεχόμενοι.

6 ὁ μέντοι γε πρότερος αὐτῶν ἀρχηγὸς ὁ Τατιανὸς συνάφειάν τινα καὶ συν-

[243] Cf. Gén 1,27.
[244] Cf. 1 Tim 4,3-4.
[245] Cf. San Ireneo, *Adv. haer.* 1,28,1.
[246] Cf. San Epifanio, *Haer.* 45. Salmon, en el DCB t.4,632, duda de la existencia de los severianos como secta.
[247] Cf. San Jerónimo. *In epist. ad Tit.*, prol.

la que dio el nombre de *Diatésaron* y que incluso hasta hoy se conserva entre algunos [248]. Y se dice que tuvo la osadía de cambiar algunas expresiones del Apóstol, alegando completar la corrección de su estilo.

7 Ha dejado gran número de escritos, entre los cuales muchos citan como más famoso el discurso *Contra los griegos*, en el que hace mención de los tiempos primitivos y pone de manifiesto que Moisés y los profetas hebreos son más antiguos que todos los hombres famosos de entre los griegos [249]. De hecho parece ser que éste es el más bello y más útil de todos sus escritos [250].

Y esto es lo que había sobre éstos.

## 30

### [De Bardesanes el Sirio y de las obras que se dice que son suyas]

1 Bajo el mismo reinado [251], las herejías se multiplicaron en Mesopotamia, y Bardesanes, hombre muy capaz y habilísimo dialéctico en lengua siriaca, compuso *diálogos* contra los marcionitas y contra otros cabecillas de diferentes creencias [252] y los transmitió

αγωγὴν οὐκ οἶδ' ὅπως τῶν εὐαγγελίων συνθείς, Τὸ διὰ τεσσάρων τοῦτο προσωνόμασεν, ὃ καὶ παρὰ τισιν εἰς ἔτι νῦν φέρεται· τοῦ δ' ἀποστόλου φασὶ τολμῆσαί τινας αὐτόν μεταφράσαι φωνάς, ὡς ἐπιδιορθούμενον αὐτῶν τὴν τῆς φράσεως σύνταξιν.

7 καταλέλοιπεν δὲ οὗτος πολύ τι πλῆθος συγγραμμάτων, ὧν μάλιστα παρὰ πολλοῖς μνημονεύεται διαβόητος αὐτοῦ λόγος ὁ Πρὸς Ἕλληνας, ἐν ᾧ καὶ τῶν ἀνέκαθεν χρόνων μνημονεύσας, τῶν παρ' Ἕλλησιν εὐδοκίμων ἁπάντων προγενέστερον Μωυσέα τε καὶ τοὺς Ἑβραίων προφήτας ἀπέφηνεν· ὃς δὴ καὶ δοκεῖ τῶν συγγραμμάτων ἁπάντων αὐτοῦ κάλλιστός τε καὶ ὠφελιμώτατος ὑπάρχειν. καὶ τὰ μὲν κατὰ τούσδε τοιαῦτα ἦν·

Λ'

1 ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας, πληθυουσῶν τῶν αἱρέσεων ἐπὶ τῆς Μέσης τῶν ποταμῶν, Βαρδησάνης, ἱκανώτατός τις ἀνὴρ ἔν τε τῇ Σύρων φωνῇ διαλεκτικώτατος, πρὸς τοὺς κατὰ Μαρκίωνα καὶ τινας ἑτέρους διαφόρων προϊσταμένους δογμάτων διαλόγους συστησάμενος τῇ

[248] Eusebio parece indicar que él no lo tiene. El texto original griego, escrito hacia 170, se ha perdido, y solamente a través de las traducciones descubiertas se puede reconstruir con alguna aproximación; cf. F. Nau: DB t.5 col.1921-1930; B. Altaner-A. Stuiber, *Patrologie* (Friburgo 1966) p.72-73; I. Ortiz de Urbina, *Patrologia Syriaca* (Roma ²1965) p.35-37); W. L. Petersen, *Tatian's «Diatessaron». Its creation, dissemination, significance and history in scholarship* = VigCh vol. suppl., 25 (Leiden 1994).

[249] Cf. Taciano, *Orat.* 40-41.

[250] Eusebio (*infra* V 13,8) menciona todavía otro, titulado *Problemas*, pero nada dice del que cita Clemente de Alejandría (*Stromat.* 3,12,81: *Sobre la perfección según el Salvador)*.

[251] El de Marco Aurelio. Cf. Eusebio, *Chronic. ad annum* 172: HELM, p.206; fecha un poco temprana, sugerida quizá porque Eusebio tomó el Antonino del párrafo 2 por Marco Aurelio (lo mismo San Jerónimo, *De vir. ill.* 33), cuando seguramente se trata de Caracalla si, como informa Bar'Hebreo, Bardesanes tenía sesenta años cuando murió, en 222. Cf. San Epifanio, *Haer.* 56; I. Ortiz de Urbina, o.c., p.42-43.

[252] Cf. Hipólito, *Refut.* 7,31.

en su propia lengua y escritura junto con otros muchos escritos suyos. Sus discípulos—que tenía muchos, subyugados por su poderoso verbo—los han traducido del siriaco al griego.

2 Entre ellos se encuentra también aquel su vigorosísimo *Diálogo sobre el destino*[253], dirigido a Antonino, y todo lo demás que, según dicen, escribió con motivo de la persecución de entonces[254].

3 Primeramente había sido miembro de la escuela de Valentín, pero después de condenarla y de refutar la mayor parte de sus fábulas, a él mismo le pareció estar de algún modo convertido a una creencia más ortodoxa, aunque de hecho no llegó a limpiarse por completo de la antigua herejía.

También en este tiempo murió Sotero, el obispo de la iglesia de Roma[255].

οἰκείᾳ παρέδωκεν γλώττῃ τε καὶ γραφῇ μετὰ καὶ πλείστων ἑτέρων αὐτοῦ συγγραμμάτων· οὓς οἱ γνώριμοι (πλεῖστοι δὲ ἦσαν αὐτῷ δυνατῶς τῷ λόγῳ παρισταμένῳ) ἐπὶ τὴν Ἑλλήνων ἀπὸ τῆς Σύρων μεταβεβλήκασι φωνῆς·

2 ἐν οἷς ἐστιν καὶ ὁ πρὸς Ἀντωνῖνον ἱκανώτατος αὐτοῦ περὶ εἱμαρμένης διάλογος ὅσα τε ἄλλα φασὶν αὐτὸν προφάσει τοῦ τότε διωγμοῦ συγγράψαι.

3 ἦν δ' οὗτος πρότερον τῆς κατὰ Οὐαλεντῖνον σχολῆς, καταγνοὺς δὲ ταύτης πλεῖστά τε τῆς κατὰ τοῦτον μυθοποιίας ἀπελέγξας, ἐδόκει μέν πως αὐτὸς ἑαυτῷ ἐπὶ τὴν ὀρθοτέραν γνώμην μετατεθεῖσθαι, οὐ μὴν καὶ παντελῶς γε ἀπερρύψατο τὸν τῆς παλαιᾶς αἱρέσεως ῥύπον. ἐν τούτῳ γε μὴν καὶ ὁ τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ τελευτᾷ.

[253] Dos fragmentos de esta obra en Eusebio, PE 6,10,1-48.

[254] No sabemos cuál. San Epifanio *(Haer.* 56,1) le llama «confesor». Es posible que se trate de alguna persecución, muy localizada, en tiempos de Caracalla, o quizás de Heliogábalo, por lo dicho *supra* nota 251.

[255] Cf. *Chronic. ad annum* 177: HELM, p.207.

# *LIBRO QUINTO*

El libro quinto de la *Historia eclesiástica* contiene lo siguiente:

1. Cuántos y de qué modo lucharon en tiempos de Vero por la religión en la Galia.
2. De cómo los mártires, amados de Dios, acogían y cuidaban de los que en la persecución habían fallado.
3. Qué aparición tuvo en sueños el mártir Atalo.
4. De cómo los mártires recomendaban a Ireneo en su carta.
5. De cómo Dios accedió a las oraciones de los nuestros e hizo llover del cielo para el emperador Marco Aurelio.
6. Lista de los que fueron obispos de Roma.
7. De cómo incluso hasta aquellos tiempos se realizaban por medio de los fieles milagros portentosos.
8. De cómo Ireneo menciona las diversas Escrituras.
9. Los que fueron obispos bajo Cómodo.
10. De Panteno, el filósofo.
11. De Clemente de Alejandría.
12. De los obispos de Jerusalén.
13. De Rodón y las disensiones que menciona de los marcionitas.
14. De los falsos profetas catafrigas.
15. Del cisma de Blasto en Roma.
16. Lo que se menciona acerca de Montano y de los pseudoprofetas de su acompañamiento.
17. De Milcíades y los tratados que compuso.

## Ε'

Τάδε καὶ ἡ πέμπτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας

Α' Ὅσοι καὶ ὅπως κατὰ Οὐῆρον ἐπὶ τῆς Γαλλίας τὸν ὑπὲρ τῆς εὐσεβείας διεξῆλθον ἀγῶνα.
Β' Ὡς οἱ θεοφιλεῖς μάρτυρες τοὺς ἐν τῷ διωγμῷ διαπεπτωκότας ἐθεράπευον δεξιούμενοι.
Γ' Ὁποία τῷ μάρτυρι Ἀττάλῳ δι' ὀνείρου γέγονεν ἐπιφάνεια.
Δ' Ὅπως οἱ μάρτυρες τὸν Εἰρηναῖον δι' ἐπιστολῆς παρετίθεντο.
Ε' Ὡς Μάρκῳ Αὐρηλίῳ Καίσαρι ταῖς τῶν ἡμετέρων εὐχαῖς οὐρανόθεν ὁ θεὸς ἐπακούσας ὗσεν.
ς' Τῶν ἐπὶ Ῥώμης ἐπισκοπευσάντων κατάλογος.
Ζ' Ὡς καὶ μέχρι τῶν τότε καιρῶν διὰ τῶν πιστῶν δυνάμεις ἐνηργοῦντο παράδοξοι.
Η' Ὅπως ὁ Εἰρηναῖος τῶν θείων μνημονεύει γραφῶν.
Θ' Οἱ κατὰ Κόμοδον ἐπισκοπεύσαντες.
Ι' Περὶ Πανταίνου τοῦ φιλοσόφου.
ΙΑ' Περὶ Κλήμεντος τοῦ Ἀλεξανδρέως.
ΙΒ' Περὶ τῶν ἐν Ἱεροσολύμοις ἐπισκόπων.
ΙΓ' Περὶ Ῥόδωνος καὶ ἧς ἐμνημόνευσεν κατὰ Μαρκίωνα διαφωνίας.
ΙΔ' Περὶ τῶν κατὰ Φρύγας ψευδοπροφητῶν.
ΙΕ' Περὶ τοῦ κατὰ Βλάστον ἐπὶ Ῥώμης γενομένου σχίσματος.
Ις' Ὅσα περὶ Μοντανοῦ καὶ τῶν μετ' αὐτοῦ ψευδοπροφητῶν μνημονεύεται.
ΙΖ' Περὶ Μιλτιάδου καὶ ὧν συνέταξε λόγων.

18. En qué términos también Apolonio refutó a los catafrigas y a quiénes menciona.
19. De Serapión sobre la herejía de los frigios.
20. Lo que Ireneo discute por escrito con los cismáticos de Roma.
21. De cómo Apolonio murió mártir en Roma.
22. Qué obispos eran célebres en aquellos tiempos.
23. De la cuestión movida por entonces en torno a la Pascua.
24. Sobre la disensión de Asia.
25. De cómo hubo acuerdo unánime entre todos acerca de la Pascua.
26. Cuánto ha llegado hasta nosotros del saber de Ireneo.
27. Cuánto también de los restantes que florecieron con él en aquella época.
28. De los que acogieron la herejía de Artemón desde el principio, cuál fue su comportamiento y de qué modo osaron corromper las santas Escrituras.

IH' Ὅσα καὶ Ἀπολλώνιος τοὺς κατὰ Φρύγας ἀπήλεγξεν καὶ τίνων ἐμνημόνευσεν.
IΘ' Σεραπίωνος περὶ τῆς τῶν Φρυγῶν αἱρέσεως.
K' Ὅσα Εἰρηναῖος τοῖς ἐπὶ Ῥώμης σχισματικοῖς ἐγγράφως διείλεκται.
KA' Ὅπως ἐπὶ Ῥώμης Ἀπολλώνιος ἐμαρτύρησεν.
KB' Τίνες κατὰ τούτους ἐπίσκοποι ἐγνωρίζοντο.
KΓ' Περὶ τοῦ τότε κινηθέντος ἀμφὶ τοῦ πάσχα ζητήματος.
KΔ' Περὶ τῆς κατὰ τὴν Ἀσίαν διαφωνίας.
KE' Ὅπως τοῖς πᾶσι μία ψῆφος περὶ τοῦ πάσχα συνεφωνήθη.
Kς' Ὅσα τῆς Εἰρηναίου φιλοκαλίας καὶ εἰς ἡμᾶς κατῆλθεν.
KZ' Ὅσα καὶ τῶν λοιπῶν τῶν τηνικάδε συνηκμακότων.
KH' Περὶ τῶν τὴν Ἀρτέμονος αἵρεσιν ἐξ ἀρχῆς προβεβλημένων οἷοί τε τὸν τρόπον γεγόνασιν καὶ ὅπως τὰς ἁγίας γραφὰς διαφθεῖραι τετολμήκασιν.

## [PRÓLOGO]

1 Así, pues, Sotero, el obispo de la iglesia de Roma, murió tras gobernar hasta su octavo año, y le sucedió Eleuterio, duodécimo a partir de los apóstoles [1]. Corría el año decimoséptimo del emperador Antonino Vero [2]. En este tiempo se reavivó con mayor violencia en algunas partes de la tierra la persecución contra nosotros [3] y, por los ataques de los habitantes de las ciudades, se puede conjeturar

**1** Ὁ μὲν οὖν τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Σωτὴρ ἐπὶ ὄγδοον ἔτος ἡγησάμενος τελευτᾷ τὸν βίον· τοῦτον δωδέκατος ἀπὸ τῶν ἀποστόλων Ἐλεύθερος διαδέχεται, ἔτος δ' ἦν ἑπτακαιδέκατον αὐτοκράτορος Ἀντωνίνου Οὐήρου· ἐν ᾧ κατά τινα μέρη τῆς γῆς σφοδρότερον ἀναρριπισθέντος τοῦ καθ' ἡμῶν διωγμοῦ,

[1] Repite en parte el final del libro anterior, como hizo ya *supra* III 1,1. Según la *Crónica*, el pontificado de Sotero abarcó desde el 168 (ed. HELM, p.205) hasta el 177, en que le sucede Eleuterio (ibid., p.207).

[2] De nuevo la consabida confusión de Eusebio (cf. *supra* IV 13,1 nota 77). Si tenemos en cuenta que a Lucio Vero nunca en la *Crónica* le llama Antonino, y que *infra* 9, asigna al imperio de Marco Aurelio una duración de diecinueve años (la muerte de Lucio Vero en 169 no la mienta más que en la *Crónica (ad annum* 169: HELM, p.205), es casi seguro que este Antonino Vero es Marco Aurelio. Con ello reconocería que también bajo este emperador hubo persecuciones, a pesar de que en la *Crónica* sitúa los martirios de Lión en 167 (ed. HELM, p.205), es decir, todavía en vida de Lucio Vero.

[3] P. Keresztes *(Marcus Aurelius a Persecutor?:* HTR 61 [1968] 321-341) llega a la conclusión de que entre 161 y 180 hubo dos oleadas de persecuciones (la más fuerte, en torno a 177), que fueron «el resultado muy indirecto e inesperado de decretos de Roma que afectaban a todo el Imperio y que fueron promulgados en circunstancias extremadamente críticas, con el fin de restaurar la paz por todo el Imperio»(p.340). Algunos gobernadores y altos fun-

que fueron millares los mártires que se distinguieron si tenemos en cuenta lo ocurrido en una sola nación, que, por ser verdaderamente digno de recuerdo inolvidable, se ha transmitido por escrito a la posteridad.

2 El escrito íntegro del completísimo relato acerca de estos hechos queda incorporado a nuestra *Recopilación de Martirios*[4], que comprende una explicación no sólo narrativa, sino también instructiva. En la presente obra recogeré y citaré al menos cuanto aquélla contenga sobre el tema que nos ocupa.

3 Otros, al hacer las narraciones históricas, acaso no hayan transmitido por escrito más que victorias de guerras, trofeos contra enemigos, hazañas de generales y valentías de soldados manchados de sangre y de muertes innumerables por causa de los hijos, de la patria y demás bienes.

4 Nuestra obra, en cambio, que describe el género de vida[5] según Dios, grabará en estelas eternas las más pacíficas luchas por la misma paz del alma y el nombre de los que en ellas se comportaron varonilmente, más por la verdad que por la tierra patria, y más por la religión que por los seres queridos, y se proclamará públicamente, para eterna memoria, la resistencia de los atletas de la fe, su bravura, curtida en mil sufrimientos, los trofeos logrados contra los demonios, las victorias sobre los adversarios invisibles y, después de todo, sus coronas.

ἐξ ἐπιθέσεως τῶν κατὰ πόλεις δήμων μυριάδας μαρτύρων διαπρέψαι στοχασμῷ λαβεῖν ἔνεστιν ἀπὸ τῶν καθ' ἓν ἔθνος συμβεβηκότων, ἃ καὶ γραφῇ τοῖς μετέπειτα παραδοθῆναι, ἀλήστου μνήμης ὡς ἀληθῶς ἐπάξια ὄντα, συμβέβηκεν.

2 τῆς μὲν οὖν περὶ τούτων ἐντελεστάτης ὑφηγήσεως τὸ πᾶν σύγγραμμα τῇ τῶν μαρτύρων ἡμῖν κατατέτακται συναγωγῇ, οὐχ ἱστορικὴν αὐτὸ μόνον, ἀλλὰ καὶ διδασκαλικὴν περιέχον διήγησιν· ὁπόσα γέ τοι τῆς παρούσης ἔχοιτο πραγματείας, ταῦτ' ἐπὶ τοῦ παρόντος ἀναλεξάμενος παραθήσομαι.

3 ἄλλοι μὲν οὖν ἱστορικὰς ποιούμενοι διηγήσεις, πάντως ἂν παρέδωκαν τῇ γραφῇ πολέμων νίκας καὶ τρόπαια κατ' ἐχθρῶν στρατηγῶν τε ἀριστείας καὶ ὁπλιτῶν ἀνδραγαθίας, αἵματι καὶ μυρίοις φόνοις παίδων καὶ πατρίδος καὶ τῆς ἄλλης ἕνεκεν περιουσίας μιανθέντων·

4 ὁ δέ γε τοῦ κατὰ θεὸν πολιτεύματος διηγηματικὸς ἡμῖν λόγος τοὺς ὑπὲρ αὐτῆς τῆς κατὰ ψυχὴν εἰρήνης εἰρηνικωτάτους πολέμους καὶ τοὺς ἐν τούτοις ὑπὲρ ἀληθείας μᾶλλον ἢ πατρίδος καὶ μᾶλλον ὑπὲρ εὐσεβείας ἢ τῶν φιλτάτων ἀνδρισαμένους αἰωνίαις ἀναγράψεται στήλαις, τῶν εὐσεβείας ἀθλητῶν τὰς ἐνστάσεις καὶ τὰς πολυτλήτους ἀνδρείας τρόπαιά τε τὰ κατὰ δαιμόνων καὶ νίκας τὰς κατὰ τῶν ἀοράτων ἀντιπάλων καὶ τοὺς ἐπὶ πᾶσι τούτοις στεφάνους εἰς αἰώνιον μνήμην ἀνακηρύττων.

cionarios, sobre todo empujados por las turbas, los utilizaron contra los cristianos. Cf. M. SORDI, *I «nuovi decreti» di Marco Aurelio contro i cristiani*: Studi Romani 9 (1961) 365-378; T. D. BARNES, *Eusebius and the date of martyrdoms*, en *Les martyrs de Lyon (177)* (Paris 1978) p.137-143.

[4] Cf. *supra* IV 15,47 nota 120; W. SCHAMONI, *Märtyrer der Frühkirche. Berichte und Dokumente des Eusebius von Caesarea* (Düsseldorf 1964).

[5] πολίτευμα, con su sentido de género de vida o conducta, se acerca al significado de constitución o conjunto de leyes que rigen esa conducta, análogo al de πολιτεία; cf. EUSEBIO, PE 7,8,40; 12,33,3; SIRINELLI, p.141.

# 1

[Cuántos y de qué modo lucharon en tiempos de Vero por la religión en la Galia]

1 Fue, pues, la Galia el país en que se preparó el estadio, lugar de los hechos mencionados. Dos metrópolis eran célebres por su distinción y por su importancia entre las otras: Lión y Viena [6]. Ambas están atravesadas por el Ródano, que fluye a lo largo de todo el país con gran caudal.

2 Las ilustrísimas iglesias de aquella región transmitieron a las iglesias de Asia y Frigia [7] la carta acerca de los mártires, y narran lo ocurrido de la siguiente manera. Citaré sus propias palabras.

3 «Los siervos de Cristo que peregrinan [8] en Viena y en Lión de la Galia, a los hermanos que en Asia y en Frigia comparten con

Α'

1 Γαλλία μὲν οὖν ἡ χώρα ἦν, καθ' ἣν τὸ τῶν δηλουμένων συνεκροτεῖτο στάδιον, ἧς μητροπόλεις ἐπίσημοι καὶ παρὰ τὰς ἄλλας τῶν αὐτόθι διαφέρουσαι βεβόηνται Λούγδουνος καὶ Βίεννα, δι' ὧν ἀμφοτέρων τὴν ἅπασαν χώραν πολλῷ τῷ ῥεύματι περιρρέων ὁ Ῥοδανὸς ποταμὸς διέξεισιν.

2 τὴν οὖν περὶ τῶν μαρτύρων γραφὴν αἱ τῇδε διαφανέσταται ἐκκλησίαι ταῖς κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν διαπέμπονται, τὰ παρ' αὐταῖς πραχθέντα τοῦτον ἀνιστοροῦσαι τὸν τρόπον,

3 παραθήσομαι δὲ τὰς αὐτῶν φωνάς «Οἱ ἐν Βιέννῃ καὶ Λουγδούνῳ τῆς Γαλλίας παροικοῦντες δοῦλοι Χριστοῦ τοῖς κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν τὴν

[6] Siempre había sido objeto de estudio especial la distinción de estas dos iglesias, el número de sus miembros y su real importancia; cf. E. Griffe, *La Gaule chrétienne à l'époque romaine*. I: *Des origines chrétiennes à la fin du IVe siècle* (París-Tolosa 1947). Pero el año 1964 trajo la gran sorpresa, por obra y gracia de J. Colin, buen conocedor de inscripciones y papiros, con sus artículos: *Martyrs grecs de Lyon ou martyrs Galates? (Eusèbe, Hist. Eccl. V 1)*: L'Antiquité Classique 33 (1964) 108-115; —*Saint Irénée était-il évêque de Lyon?*: Latomus 23 (1964) 81-85; y sobre todo en su libro: *L'Empire des Antonins et les martyrs gaulois de 177*: Collect. Antiquitas 10 (Bonn 1964), en el que prueba su teoría, a saber: Eusebio habría confundido nada menos que la Galacia del Ponto con la Galia de Occidente; ha tenido poca resonancia; citaremos los estudios de S. Rossi, *Ireneo fu vescovo di Lione*: Giornale Italiano di Filologia 17 (1964) 239-54; Id., *Il Cristianesimo della Gallia e i martiri di Lione*: ibid., p.289-320, y el de B. Hemmerdinger, *Saint Irénée évêque en Gaule ou en Galatie?*: REG 77 (1964) 291-292; ambos autores defienden la interpretación tradicional de Eusebio. Cf. los estudios recogidos en: *Les martyrs de Lyon (177)*. [Colloque tenu à] Lyon, 20-23 sept. 1977 (Colloques internat. du CNRS, 575) París 1978.

[7] Esta carta, según P. Nautin, «en realidad va destinada a combatir el influjo en las iglesias de Asia y Frigia de un partido de 'mártires' que rehusaba la penitencia a los apóstatas y fomentaba el encratismo so capa de preparar a los cristianos para una posible vuelta de la persecución»: *Lettres et Ecrivains chrétiens des IIe et IIIe siècles*: Patristica 2 (París 1961) 36. La explicación tradicional de las relaciones entre puntos tan distantes es que dichas iglesias de la Galia debían de estar formadas principalmente por cristianos emigrados de Asia Menor.

[8] Cf. *supra* IV 15,3.

nosotros la misma fe y la misma esperanza de la redención: paz, gracia y gloria de parte de Dios Padre y de Jesucristo, Señor nuestro»[9].

4 Después, a continuación de esto, siguen diciendo otras cosas en plan de prólogo y dan comienzo a su relato en los términos siguientes:

«Describir, pues, con justeza la magnitud de esta tribulación de aquí[10], el grado de irritación de los paganos contra los santos y el número de sufrimientos que los bienaventurados mártires soportaron, ni está en nuestra capacidad ni siquiera es posible encerrarlo en un escrito[11].

5 »Y es que el adversario[12] atacó con todas sus fuerzas, preludiando ya el descaro de su inminente venida. Por todo se metió, acostumbrando a los suyos y ejercitándolos de antemano contra los siervos de Dios, de suerte que no sólo se nos expulsa de las casas, de los baños y de las plazas, sino que incluso prohíben que alguno de nosotros se deje ver lo más mínimo en el lugar que sea.

6 »Pero la gracia de Dios oponía su estrategia: retenía a los débiles y presentaba de frente una formación de sólidas columnas[13], capaces de atraer sobre sí, con su paciencia, todo el ímpetu del malvado. Estos marcharon a su encuentro, soportando toda suerte

αὐτὴν τῆς ἀπολυτρώσεως ἡμῖν πίστιν καὶ ἐλπίδα ἔχουσιν ἀδελφοῖς· εἰρήνη καὶ χάρις καὶ δόξα ἀπὸ θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν».

4 εἶτα τούτοις ἑξῆς ἕτερα προοιμιασάμενοι, τὴν τοῦ λόγου καταρχὴν ποιοῦνται ἐν τούτοις

«τὸ μὲν οὖν μέγεθος τῆς ἐνθάδε θλίψεως καὶ τὴν τοσαύτην τῶν ἐθνῶν εἰς τοὺς ἁγίους ὀργὴν καὶ ὅσα ὑπέμειναν οἱ μακάριοι μάρτυρες, ἐπ' ἀκριβὲς οὔθ' ἡμεῖς εἰπεῖν ἱκανοὶ οὔτε μὴν γραφῇ περιληφθῆναι δυνατόν.

5 »παντὶ γὰρ σθένει ἐνέσκηψεν ὁ ἀντικείμενος, προοιμιαζόμενος ἤδη τὴν ἀδεῶς μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ, καὶ διὰ πάντων διῆλθεν, ἐθίζων τοὺς ἑαυτοῦ καὶ προγυμνάζων κατὰ τῶν δούλων τοῦ θεοῦ, ὥστε μὴ μόνον οἰκιῶν καὶ βαλανείων καὶ ἀγορᾶς εἴργεσθαι, ἀλλὰ καὶ τὸ καθόλου φαίνεσθαι ἡμῶν τινα αὐτοῖς ἀπειρῆσθαι ἐν ὁποίῳ δήποτε τόπῳ.

6 »ἀντεστρατήγει δὲ ἡ χάρις τοῦ θεοῦ, καὶ τοὺς μὲν ἀσθενεῖς ἐρρύετο, ἀντιπαρέτασσε δὲ στύλους ἑδραίους δυναμένους διὰ τῆς ὑπομονῆς πᾶσαν τὴν ὁρμὴν τοῦ πονηροῦ εἰς ἑαυτοὺς ἑλκύσαι· οἳ καὶ ὁμόσε ἐχώρουν, πᾶν εἶδος ὀνει-

[9] Cf. 2 Pe 1,1-2.

[10] Aunque la carta fuera probablemente escrita en Viena (en el § 1 ésta precede a Lión), la persecución parece desarrollarse en Lión, como se desprende de los párrafos 17,29 y 47, aunque los mártires proceden de las dos comunidades; cf. § 13. Viena, dependiente de la Narbonense, escapaba a la jurisdicción del gobernador de Lión; cf. H. LECLERCQ, *Lyon:* DACL t.10, 1.ª col.43-72.

[11] Cf. P. LANARO, *Temi del martirio nell'antichità cristiana. I martiri di Lione:* Studia Patavina 14 (1967) 204-235; 325-359; F. [illegible]EIDWEILER, *Zur Kirchengeschichte des Eusebios von Kaisareia:* ZNWKAK 49 (1958) 12[illegible]. Sobre el libro IV de los Macabeos como fuente de inspiración de esta relación, cf. O. PERLER, *Das vierte Makkabäerbuch. Ignatius von Antiochien und die älteste Märtyrerberichte:* Rivista di Archeologia Cristiana 25 (1949) 47-72.

[12] En el párrafo anterior se destaca la irritación popular contra los cristianos: el causante de ella y de toda la persecución es el «adversario», Satanás (§ 14), o como dirá en el párrafo 25, «el diablo»; cf. también los párrafos 6.16.23.27.35.42.57; también *infra* 2,6.

[13] 1 Tim 3,15; Gál 2,9.

de injurias y castigos [14]. Considerando poco lo que era mucho, apresuraban su paso hacia Cristo y mostraban realmente que los *sufrimientos del tiempo presente no son comparables con la gloria que está para ser revelada en nosotros* [15].

7 »En primer lugar soportaron generosamente los asaltos masivos de toda la plebe: insultos, golpes, zarandeos, rapiñas, apedreo, desfiles entre apreturas y todo cuanto suele gustar a una plebe enfurecida contra gentes que considera odiosas y enemigas.

8 »Y después de ser conducidos a la plaza pública y de ser juzgados por el tribuno y por los magistrados de la ciudad en presencia de toda la muchedumbre, fueron encerrados en la cárcel hasta la llegada del gobernador [16].

9 »Más tarde los condujeron ante el gobernador. Como éste usara de toda su crueldad contra nosotros, uno de los hermanos, Vetio Epágato [17], que poseía en plenitud el amor a Dios y al prójimo y cuya conducta había sido tan estricta que, aun siendo joven, se hizo acreedor del testimonio del anciano Zacarías, ya que había caminado irreprochablemente en todos los mandamientos y preceptos del Señor [18], diligente en todo servicio al prójimo, con mucho

δισμοῦ καὶ κολάσεως ἀνεχόμενοι· οἱ καὶ τὰ πολλὰ ὀλίγα ἡγούμενοι ἔσπευδον πρὸς Χριστόν, ὄντως ἐπιδεικνύμενοι ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

7 »καὶ πρῶτον μὲν τὰ ἀπὸ τοῦ ὄχλου πανδημεὶ σωρηδὸν ἐπιφερόμενα γενναίως ὑπέμενον, ἐπιβοήσεις καὶ πληγὰς καὶ συρμοὺς καὶ διαρπαγὰς καὶ λίθων βολὰς καὶ συγκλείσεις καὶ πάνθ' ὅσα ἠγριωμένῳ πλήθει ὡς πρὸς ἐχθροὺς καὶ πολεμίους φιλεῖ γίνεσθαι,

8 »καὶ δὴ ἀναχθέντες εἰς τὴν ἀγορὰν ὑπό τε τοῦ χιλιάρχου καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν ἐπὶ παντὸς τοῦ πλήθους ἀνακριθέντες καὶ ὁμολογήσαντες, συνεκλείσθησαν εἰς τὴν εἱρκτὴν ἕως τῆς τοῦ ἡγεμόνος παρουσίας·

9 »μετέπειτα δὲ ἐπὶ τὸν ἡγεμόνα ἀχθέντων αὐτῶν κἀκείνου πάσῃ τῇ πρὸς ἡμᾶς ὠμότητι χρωμένου, Οὐέττιος Ἐπάγαθος, εἷς ἐκ τῶν ἀδελφῶν, πλήρωμα ἀγάπης τῆς πρός τὸν θεόν καὶ πρός τὸν πλησίον κεχωρηκώς, οὗ καὶ ἐπὶ τοσοῦτον ἠκρίβωτο ἡ πολιτεία, ὡς καίπερ ὄντα νέον συνεξισοῦσθαι τῇ τοῦ πρεσβυτέρου Ζαχαρίου μαρτυρίᾳ· πεπόρευτο γοῦν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεμπτος καὶ πάσῃ τῇ πρὸς τὸν πλησίον λειτουργίᾳ ἄοκνος, ζῆλον θεοῦ πολὺν ἔχων καὶ ζέων τῷ πνεύματι· τοιοῦ-

[14] Cf. Heb 10,33.

[15] Rom 8,18.

[16] Los cristianos son conducidos ante el tribuno—seguramente el comandante de la guarnición de Lión—y ante los magistrados—los *duoviri iure dicundo*—para ser juzgados; realizado el primer interrogatorio, público, quedan detenidos en espera de que llegue el gobernador: así lo exigía el procedimiento a seguir. Ello supone la existencia de una ley contra los cristianos, ley de la que en Lión se abusó, según J. Zeiller, *Légalité et arbitraire dans les persécutions contre les chrétiens:* AB 67 (1949) (Mélanges Paul Peeters 1) 49-54, contestando al artículo de L. Dieu (*Les persécutions au IIe siècle. Une loi fantôme:* RHE 38 [1942] 5-19). Cf. P. Wuilleumier, *L'administration de la Lyonnaise sous le Haut-Empire* (Paris 1948).

[17] Sobre los nombres de los mártires, cf. H. Quentin, *La liste des martyrs de Lyon:* AB 39 (1921) 113-138.

[18] Cf. Lc 1,6. Zacarías, el padre del Bautista. Es el primer testimonio de su martirio; cf. H. F. von Campenhausen, *Das Martyrium des Zacharias. Seine früherte Bezeugnung im zweiten Jahrhundert:* Historisches Jahrbuch 77 (1958) 383-386.

celo de Dios [19] y fervor de espíritu [20], por ser de tal índole, no soportó que se procediera contra nosotros con un juicio tan irracional. Fuertemente indignado, pidió ser también él escuchado y defendió, en favor de los hermanos, que entre nosotros nada hay de ateo ni de impío.

10 »Los que rodeaban el tribunal la emprendieron a gritos contra él—pues era hombre relevante—, y el juez, no tolerando la petición así propuesta por él, deseaba únicamente saber si también él era cristiano. Como Vetio lo confesara con voz clarísima, también él fue recibido en las filas de los mártires [21]. Se le llamó consolador de los cristianos, pues dentro de sí tenía al consolador, el Espíritu de Zacarías [22], el que había mostrado con la plenitud de su amor al tener a bien salir en defensa de los hermanos y exponer su propia vida [23]; porque era y sigue siendo genuino discípulo de Cristo, que va en pos del Cordero adonde quiera que vaya [24].

11 »A partir de aquí, los demás se dividen: aparecen claramente los preparados para dar testimonio [25], los que con todo su ardor completaban la confesión del martirio; mas también se manifestaron los que no estaban dispuestos, faltos de ejercicio y hasta débiles, incapaces de aguantar la tensión de un gran combate. De ellos abortaron unos diez [26]. Grande fue la aflicción e inmenso el

τος δή τις ὤν, τὴν οὕτως καθ' ἡμῶν ἀλόγως γινομένην κρίσιν οὐκ ἐβάστασεν, ἀλλ' ὑπερηγανάκτησεν καὶ ἠξίου καὶ αὐτὸς ἀκουσθῆναι ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν ὅτι μηδὲν ἄθεον μηδὲ ἀσεβές ἐστιν ἐν ἡμῖν.

**10** »τῶν δὲ περὶ τὸ βῆμα καταβοησάντων αὐτοῦ, καὶ γὰρ ἦν ἐπίσημος, καὶ τοῦ ἡγεμόνος μὴ ἀνασχομένου τῆς οὕτως ὑπ' αὐτοῦ δικαίας προταθείσης ἀξιώσεως, ἀλλὰ μόνον τοῦτο πυθομένου εἰ καὶ αὐτὸς εἴη Χριστιανός, τοῦ δὲ λαμπροτάτῃ φωνῇ ὁμολογήσαντος, ἀνελήφθη καὶ αὐτὸς εἰς τὸν κλῆρον τῶν μαρτύρων, παράκλητος Χριστιανῶν χρηματίσας, ἔχων δὲ τὸν παράκλητον ἐν ἑαυτῷ, τὸ πνεῦμα τοῦ Ζαχαρίου, ὃ διὰ τοῦ πληρώματος τῆς ἀγάπης ἐνεδείξατο, εὐδοκήσας ὑπὲρ τῆς τῶν ἀδελφῶν ἀπολογίας καὶ τὴν ἑαυτοῦ θεῖναι ψυχήν· ἦν γὰρ καὶ ἔστιν γνήσιος Χριστοῦ μαθητής, ἀκολουθῶν τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ.

**11** »ἐντεῦθεν δὴ διεκρίνοντο οἱ λοιποί, καὶ φανεροὶ καὶ ἕτοιμοι ἐγίνοντο πρωτομάρτυρες, οἳ καὶ μετὰ πάσης προθυμίας ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας, ἐφαίνοντο δὲ καὶ οἱ ἀνέτοιμοι καὶ ἀγύμναστοι καὶ ἔτι ἀσθενεῖς, ἀγῶνος μεγάλου τόνον ἐνεγκεῖν μη δυνάμενοι· ὧν καὶ ἐξέτρω-

19 Cf. Rom 10,2.
20 Cf. Act 18,25; Rom 12,11.
21 Literalmente, «en el lote o herencia de los mártires»; lo mismo *infra* § 26 y 48. Cf. San Ignacio de Antioquía, *Trall.* 12,3; *Roman.* 1,2; *Philad.* 5,1.
22 La carta juega con el doble sentido de παράκλητος: consolador y abogado (Rufino traduce *advocatum)*, esto último en sentido jurídico: Vetio sale en defensa de los hermanos. Se ha querido ver en estas expresiones y en la alusión a Lc 1,67 un matiz montanista en Vetio, pero más bien se debe pensar en una suave y discreta censura del montanismo frigio; cf. P. de Labriolle, *La crise montaniste* (París 1913) p.225-227.
23 Cf. 1 Jn 3,16; 2 Tes 2,8.
24 Ap 14,4.
25 La expresión πρωτομάρτυρες de los Mss no tiene sentido; Schwartz propone la corrección οἱ ἕτοιμοι πρὸς τὸ μαρτυρεῖν: «los preparados para dar testimonio o sufrir martirio». Es lo más lógico, teniendo en cuenta lo que sigue y la imagen que subyace: la división selectiva de los atletas preparados, de los no preparados.
26 Cf. *infra* § 45.

dolor que nos causaron y grave el quebranto propinado al entusiasmo de los otros que no habían sido arrestados con ellos y que, a pesar de estar padeciendo toda clase de horrores, con todo, asistían a los mártires y no los abandonaban.

12 »Pero entonces [27] todos quedamos en gran manera aterrados ante la incertidumbre de la confesión, no por temor a los castigos, sino porque veíamos lejano el fin y temíamos que alguno sucumbiera.

13 »Sin embargo, cada día iban deteniendo a los que eran dignos de completar el número de aquéllos, tanto que juntaron de las dos iglesias a todas las personas importantes, gracias sobre todo a las cuales tenían consistencia los asuntos de aquí.

14 »Fueron apresados también algunos paganos, criados de los nuestros, cuando el gobernador mandó que se nos buscara a todos nosotros [28]. Estos, por insidias de Satanás, temiendo los tormentos que veían padecer a los santos y empujados a ello por los soldados, nos acusaron falsamente [29] de cenas tiesteas, de promiscuidades edipeas y de tantas otras cosas que a nosotros ni decirlas ni pensarlas es lícito, ni creer siquiera que tales cosas se hayan dado entre los hombres.

15 »Cuando este rumor se esparció, todos se revolvieron como fieras contra nosotros, tanto que, si a lo primero algunos se conducían con moderación por amistad, entonces empezaron a mostrarse

σαν ὡς δέκα τὸν ἀριθμόν· οἳ καὶ μεγάλην λύπην καὶ πένθος ἀμέτρητον ἐνεποίησαν ἡμῖν καὶ τὴν προθυμίαν τῶν λοιπῶν τῶν μὴ συνειλημμένων ἐνέκοψαν· οἳ καίπερ πάντα τὰ δεινὰ πάσχοντες, ὅμως συμπαρῆσαν τοῖς μάρτυσιν καὶ οὐκ ἀπελείποντο αὐτῶν,

12 »τότε δὲ οἱ πάντες μεγάλως ἐπτοήθημεν διὰ τὸ ἄδηλον τῆς ὁμολογίας, οὐ τὰς ἐπιφερομένας κολάσεις φοβούμενοι, ἀλλὰ τὸ τέλος ἀφορῶντες καὶ τὸ ἀποπεσεῖν τινα δεδιότες.

13 συνελαμβάνοντο μέντοι καθ' ἑκάστην ἡμέραν οἱ ἄξιοι τὸν ἐκείνων ἀναπληροῦντες ἀριθμόν, ὥστε συλλεγῆναι ἐκ τῶν δύο ἐκκλησιῶν πάντας τοὺς σπουδαίους καὶ δι' ὧν μάλιστα συνειστήκει τὰ ἐνθάδε·

14 »συνελαμβάνοντο δὲ καὶ ἐθνικοί τινες οἰκέται τῶν ἡμετέρων, ἐπεὶ δημοσίᾳ ἐκέλευσεν ὁ ἡγεμὼν ἀναζητεῖσθαι πάντας ἡμᾶς· οἳ καὶ κατ' ἐνέδραν τοῦ σατανᾶ, φοβηθέντες τὰς βασάνους ἃς τοὺς ἁγίους ἔβλεπον πάσχοντας, τῶν στρατιωτῶν ἐπὶ τοῦτο παρορμώντων αὐτούς, κατεψεύσαντο ἡμῶν Θυέστεια δεῖπνα καὶ Οἰδιποδείους μίξεις καὶ ὅσα μήτε λαλεῖν μήτε νοεῖν θέμις ἡμῖν, ἀλλὰ μηδὲ πιστεύειν εἴ τι τοιοῦτο πώποτε παρὰ ἀνθρώποις ἐγένετο.

15 »τούτων δὲ φημισθέντων, πάντες ἀπεθηριώθησαν εἰς ἡμᾶς, ὥστε καὶ εἴ τινες

[27] F. Scheidweiler (a.c., p.127) cree necesario en el párrafo anterior un correlativo temporal, como ⟨τέως μὲν⟩, delante de καίπερ. En la mente del redactor de la carta, la fuerza del adverbio y partícula iniciales del párrafo lo hacen innecesario.

[28] Lo mismo que cuenta Melitón de Sardes; cf. *supra* IV 26,5. Estas irregularidades y abusos parecen frecuentes en las persecuciones habidas bajo Marco Aurelio. A ellas se refiere J. Zeiller (a.c., p.53).

[29] Cf. *infra* § 25ss. Serán las calumnias clásicas del hombre de la calle, como vemos en los Apologistas. Nótese que este hecho desmiente la afirmación de Minucio Félix *(Octav.* 28,2) de que los esclavos y siervos nunca habían acusado a sus amos. Lo mismo afirma Atenágoras *(Suppl.* 35), pero es posible que esto se debiera a que ya había publicado su obra cuando el hecho ocurrió, o bien que lo supo demasiado tarde.

muy hostiles y rabiosos contra nosotros [30]. Se estaba cumpliendo lo que dijera nuestro Señor: *Un tiempo vendrá en que todo el que os mate pensará estar dando culto a Dios* [31].

16 »Desde entonces los santos mártires soportaron castigos que exceden a toda descripción, mientras Satanás se esforzaba por arrancarles también alguna palabra blasfema.

17 »Toda la furia de la muchedumbre, del gobernador y de los soldados se abatió desbordada sobre el diácono Santos, de Viena [32], sobre Maturo, recién bautizado, pero noble luchador, sobre Atalo, oriundo de Pérgamo y que siempre había sido columna y fundamento [33] de los cristianos de aquí, y sobre Blandina, por medio de la cual Cristo demostró que lo que entre los hombres aparece vulgar, deforme y fácilmente despreciable, por parte de Dios se considera digno de gran gloria [34] a causa del amor hacia El, amor que se muestra en la fuerza y que no se jacta de la apariencia [35].

18 »Efectivamente, mientras todos nosotros estábamos medrosos y su misma dueña carnal [36]—también ella una de nuestros mártires combatientes—temíamos que por la flaqueza de su cuerpo no tuviese fuerzas para proclamar libremente su confesión, Blandina se vio llena de una fuerza tan grande que extenuaba y agotaba a los que, por turno y de todas las maneras, la iban torturando desde el amanecer hasta el ocaso; ellos mismos confesaban que estaban vencidos, sin poder hacer ya nada con ella, y se admiraban de cómo

τὸ πρότερον δι' οἰκειότητα ἐμετρίαζον, τότε μεγάλως ἐχαλέπαινον καὶ διεπρίοντο ἐφ' ἡμῖν· ἐπληροῦτο δὲ τὸ ὑπὸ τοῦ κυρίου ἡμῶν εἰρημένον ὅτι ἐλεύσεται καιρὸς ἐν ᾧ πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξει λατρείαν προσφέρειν τῷ θεῷ.

**16** »ἐνταῦθα λοιπὸν ὑπεράνω πάσης ἐξηγήσεως ὑπέμενον κολάσεις οἱ ἅγιοι μάρτυρες, φιλοτιμουμένου τοῦ σατανᾶ καὶ δι' ἐκείνων ῥηθῆναί τι τῶν βλασφήμων·

**17** »ὑπερβεβλημένως δὲ ἐνέσκηψεν ἡ ὀργὴ πᾶσα καὶ ὄχλου καὶ ἡγεμόνος καὶ στρατιωτῶν εἰς Σάγκτον τὸν διάκονον ἀπὸ Βιέννης καὶ εἰς Μάτουρον, νεοφώτιστον μέν, ἀλλὰ γενναῖον ἀγωνιστήν, καὶ εἰς Ἄτταλον Περγαμηνὸν τῷ γένει, στῦλον καὶ ἑδραίωμα τῶν ἐνταῦθα ἀεὶ γεγονότα, καὶ εἰς Βλανδῖναν, δι' ἧς ἐπέδειξεν ὁ Χριστὸς ὅτι τὰ παρὰ ἀνθρώποις εὐτελῆ καὶ ἀειδῆ καὶ εὐκαταφρόνητα φαινόμενα μεγάλης καταξιοῦται παρὰ θεῷ δόξης διὰ τὴν πρὸς αὐτὸν ἀγάπην τὴν ἐν δυνάμει δεικνυμένην καὶ μὴ ἐν εἴδει καυχωμένην.

**18** »ἡμῶν γὰρ πάντων δεδιότων καὶ τῆς σαρκίνης δεσποίνης αὐτῆς, ἥτις ἦν καὶ αὐτὴ τῶν μαρτύρων μία ἀγωνίστρια, ἀγωνιώσης μὴ οὐδὲ τὴν ὁμολογίαν δυνήσεται παρρησιάσασθαι διὰ τὸ ἀσθενὲς τοῦ σώματος, ἡ Βλανδῖνα τοσαύτης ἐπληρώθη δυνάμεως, ὥστε ἐκλυθῆναι καὶ παρεθῆναι τοὺς κατὰ διαδοχὰς παντὶ τρόπῳ βασανίζοντας αὐτὴν ἀπὸ ἑωθινῆς ἕως ἑσπέρας, καὶ αὐτοὺς ὁμολογοῦντας ὅτι νενίκηνται μηδὲν ἔχοντες μηκέτι ὃ ποιήσωσιν αὐτῇ, καὶ θαυ-

30 Cf. Act 5,33; 7,54.
31 Jn 16,2.
32 Quizás fuera el responsable de la comunidad de Viena; cf. *supra* § 13. Su nombre es claramente latino, como el de varios otros, pero seguramente era el único cuya lengua materna era el latín. Atalo también lo habla, pero no es su lengua materna; cf. *infra* § 52.
33 Cf. 1 Tim 3,15.
34 Cf. 1 Cor 1,28-29.
35 Cf. 2 Cor 5,12.
36 Cf. Ef 6,5; Col 3,22.

podía mantenerse con aliento estando todo su cuerpo desgarrado y abierto, y atestiguaban que una sola especie de suplicio bastaba para quitar la vida, sin necesidad de tantos ni tan terribles.

19 »Mas la bienaventurada mujer, como noble atleta, rejuvenecía en la confesión, y era para ella recuperación de fuerzas, descanso y ausencia de dolor en medio de los acontecimientos el decir: '¡Soy cristiana, y nada malo se hace entre nosotros!'

20 »También Santos soportó noblemente, más allá de toda humana medida, todos los malos tratos que provienen de los hombres. Los inicuos esperaban que por la persistencia y magnitud de los tormentos escucharían de él algo indebido, pero les resistió con tal firmeza, que no reveló ni su propio nombre, ni el de su familia, ni el de la ciudad de donde provenía ni si era esclavo o si era libre, sino que a todo lo que se le preguntaba respondía en latín: '¡Soy cristiano!' En lugar de su nombre, de su ciudad, de su familia y de todo, esto es lo que sucesivamente iba confesando, y ninguna otra palabra escucharon de él los paganos.

21 »Por esta razón, lo mismo el gobernador que los torturadores se ensañaron contra él de tal manera, que, cuando ya no sabían qué hacerle, por último le aplicaron planchas de cobre candentes a los miembros más delicados de su cuerpo.

22 »Estos, ciertamente, se quemaban, pero él se mantuvo inflexible y firme, constante en la confesión, rociado [37] y fortalecido por la fuente eclesial del agua viva que brota de la entraña de Cristo [38].

μάζειν ἐπὶ τῷ παραμένειν ἔμπνουν αὐτήν, παντὸς τοῦ σώματος περιερρωγότος καὶ ἠνεῳγμένου, καὶ μαρτυρεῖν ὅτι ἓν εἶδος στρεβλώσεως ἱκανὸν ἦν πρὸς τὸ ἐξαγαγεῖν τὴν ψυχήν, οὐχ ὅτι γε τοιαῦτα καὶ τοσαῦτα.

19 »ἀλλ' ἡ μακαρία ὡς γενναῖος ἀθλητὴς ἀνενέαζεν ἐν τῇ ὁμολογίᾳ, καὶ ἦν αὐτῆς ἀνάληψις καὶ ἀνάπαυσις καὶ ἀναλγησία τῶν συμβαινόντων τὸ λέγειν ὅτι ‹Χριστιανή εἰμι καὶ παρ' ἡμῖν οὐδὲν φαῦλον γίνεται›.

20 »ὁ δὲ Σάγκτος καὶ αὐτὸς ὑπερβεβλημένως καὶ ὑπὲρ παντα ἄνθρωπον πάσας τὰς ἐξ ἀνθρώπων αἰκίας γενναίως ὑπομένων, τῶν ἀνόμων ἐλπιζόντων διὰ τὴν ἐπιμονὴν καὶ τὸ μέγεθος τῶν βασάνων ἀκούσεσθαί τι παρ' αὐτοῦ τῶν μὴ δεόντων, τοσαύτῃ ὑποστάσει ἀντιπαρετάξατο αὐτοῖς, ὥστε μήτε τὸ ἴδιον κατειπεῖν ὄνομα μήτε ἔθνους μήτε πόλεως ὅθεν ἦν, μήτε εἰ δοῦλος ἢ ἐλεύθερος εἴη· ἀλλὰ πρὸς πάντα τὰ ἐπερωτώμενα ἀπεκρίνατο τῇ Ῥωμαϊκῇ φωνῇ ‹Χριστιανός εἰμι›· τοῦτο καὶ ἀντὶ ὀνόματος καὶ ἀντὶ πόλεως καὶ ἀντὶ γένους καὶ ἀντὶ παντὸς ἐπαλλήλως ὡμολόγει. ἄλλην δὲ φωνὴν οὐκ ἤκουσαν αὐτοῦ τὰ ἔθνη·

21 »ὅθεν δὴ καὶ φιλονεικία μεγάλη τοῦ τε ἡγεμόνος καὶ τῶν βασανιστῶν ἐγένετο πρὸς αὐτόν, ὥστε ὁπότε μηκέτι μηδὲν εἶχον ὃ ποιήσωσιν αὐτῷ, τὸ τελευταῖον χαλκᾶς λεπίδας διαπύρους προσεκόλλων τοῖς τρυφερωτάτοις μέλεσι τοῦ σώματος αὐτοῦ.

22 »καὶ ταῦτα μὲν ἐκαίετο, αὐτὸς δὲ παρέμενεν ἀνεπίκαμπτος καὶ ἀνένδοτος, στερρὸς πρὸς τὴν ὁμολογίαν, ὑπὸ τῆς οὐρανίου πηγῆς τοῦ ὕδατος τῆς ζωῆς τοῦ ἐξιόντος ἐκ τῆς νηδύος τοῦ Χριστοῦ δροσιζόμενος καὶ ἐνδυναμούμενος·

[37] Cf. San Ignacio de Antioquía, *Magn.* 14.
[38] Cf. Jn 7,38; 10,34; Ap 21,6.

23 »Su cuerpo atestiguaba lo ocurrido: todo él era una llaga, todo confusión, encogido y perdida toda forma humana [39]; pero Cristo padecía en él y realizaba grandes glorias anulando al adversario y mostrando, para ejemplo de los demás [40], que nada hay temible allí donde está el amor del Padre [41], ni doloroso donde la gloria de Cristo [42].

24 »Efectivamente, después de algunos días, aquellos malvados comenzaron de nuevo a torturar al mártir, pensando que podrían vencerlo si, estando sus carnes [43] hinchadas e inflamadas, le aplicaban los mismos suplicios ahora que ni siquiera soportaba el roce de las manos, o bien que, si moría en medio de los tormentos, infundiría temor a los demás. Pero no solamente no ocurrió con él nada semejante, sino que, contra lo que todos pensaban, se recuperó, y su cuerpo se enderezó entre los tormentos que siguieron y recobró su prístina forma y el uso de los miembros, de manera que la segunda tortura fue para él no un suplicio, sino curación por la gracia de Cristo.

25 »Y Bíblida también, una de las que habían renegado. Ya pensaba el diablo que la tenía devorada [44], mas, queriendo además condenarla por blasfemia, la condujo a la tortura y la forzaba a declarar sobre nosotros aquellas impías calumnias, seguro ya de su fragilidad y cobardía.

26 »Pero ella, en el tormento, volvió en sí y, por así decirlo,

**23** »τὸ δὲ σωμάτιον μάρτυς ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ καὶ συνεσπασμένον, καὶ ἀποβεβληκὸς τὴν ἀνθρώπειον ἔξωθεν μορφήν, ἐν ᾧ πάσχων Χριστὸς μεγάλας ἐπετέλει δόξας, καταργῶν τὸν ἀντικείμενον καὶ εἰς τὴν τῶν λοιπῶν ὑποτύπωσιν ὑποδεικνύων ὅτι μηδὲν φοβερὸν ὅπου πατρὸς ἀγάπη, μηδὲ ἀλγεινὸν ὅπου Χριστοῦ δόξα.

**24** »τῶν γὰρ ἀνόμων μεθ' ἡμέρας πάλιν στρεβλούντων τὸν μάρτυρα καὶ νομιζόντων ὅτι οἰδούντων καὶ φλεγμαινόντων τῶν σωμάτων, εἰ τὰ αὐτὰ προσενέγκοιεν κολαστήρια, περιέσοιντο αὐτοῦ, ὁπότε οὐδὲ τὴν ἀπὸ τῶν χειρῶν ἁφὴν ἠνείχετο, ἢ ὅτι ἐναποθανὼν ταῖς βασάνοις φόβον ἐμποιήσειεν τοῖς λοιποῖς, οὐ μόνον οὐδὲν περὶ αὐτὸν τοιοῦτο συνέβη, ἀλλὰ καὶ παρὰ πᾶσαν δόξαν ἀνθρώπων ἀνέκυψεν καὶ ἀνωρθώθη τὸ σωμάτιον ἐν ταῖς μετέπειτα βασάνοις, καὶ τὴν ἰδέαν ἀπέλαβεν τὴν προτέραν καὶ τὴν χρῆσιν τῶν μελῶν, ὥστε μὴ κόλασιν, ἀλλ' ἴασιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ τὴν δευτέραν στρέβλωσιν αὐτῷ γενέσθαι.

**25** »καὶ Βιβλίδα δέ, μίαν τῶν ἠρνημένων, ἤδη δοκῶν ὁ διάβολος καταπεπωκέναι, θελήσας δὲ καὶ διὰ βλασφημίας κατακρῖναι ἦγεν ἐπὶ κόλασιν, ἀναγκάζων εἰπεῖν τὰ ἄθεα περὶ ἡμῶν, ὡς εὔθραυστον ἤδη καὶ ἄνανδρον·

**26** »ἡ δὲ ἐν τῇ στρεβλώσει ἀνένηψεν καὶ ὡς ἂν εἰπεῖν ἐκ βαθέος ὕπνου ἀνεγρηγόρησεν, ὑπομνησθεῖσα διὰ τῆς προσ-

[39] Cf. Is 53,2-5.
[40] Cf. 1 Tim 1,16.
[41] Cf. 1 Jn 4,18.
[42] Cf. 2 Cor 8,23.
[43] Los Mss dan σωμάτων; Schwartz da por falsa la conjetura τραυμάτων, de Rufino; F. Scheidweiler (a.c., p.127) lo supone equivocación gráfica de σώματος μελῶν, basándose en lo que sigue: «su cuerpo... recobró... el uso de los miembros».
[44] Cf. 1 Pe 5,8.

despertó de un profundo sueño. Recordando entonces, gracias a aquellos castigos temporales, el castigo eterno en el infierno[45], se puso, por el contrario, a replicar a los detractores y decía: '¿Cómo podrían comer a un niño estas gentes si ni siquiera les está permitido comer sangre de animales irracionales?'[46] Y desde ese instante confesaba que también ella misma era cristiana, y fue incorporada a la fila de los mártires.

27 »Anulados por Cristo los tormentos de los tiranos mediante la constancia de los santos, el diablo se puso a idear otros recursos[47], el encerramiento en el lugar más oscuro y peor de la cárcel, la distensión de los pies en el cepo, separados hasta el quinto agujero[48], y los demás suplicios que los funcionarios airados y endiablados acostumbraban a infligir a los presos, tanto que en la cárcel murieron asfixiados la mayor parte, al menos cuantos el Señor quiso que así murieran, mostrando su propia gloria[49].

28 »Efectivamente[50], algunos que habían sido cruelmente torturados hasta el punto de parecer que no podrían ya vivir aunque se les diera toda clase de cuidados, permanecían en la cárcel, desprovistos, claro está, de toda asistencia humana; pero, fortalecidos por el Señor[51] en sus cuerpos y en sus almas, animaban y consolaban a los demás. Otros, en cambio, jóvenes y recién detenidos, cuyos

καίρου τιμωρίας τὴν αἰώνιον ἐν γεέννῃ κόλασιν, καὶ ἐξ ἐναντίας ἀντεῖπεν τοῖς βλασφήμοις, φήσασα ‹πῶς ἂν παιδία φάγοιεν οἱ τοιοῦτοι, οἷς μηδὲ ἀλόγων ζῴων αἷμα φαγεῖν ἐξόν›; καὶ ἀπὸ τοῦδε Χριστιανὴν ἑαυτὴν ὡμολόγει καὶ τῷ κλήρῳ τῶν μαρτύρων προσετέθη.

27 »καταργηθέντων δὲ τῶν τυραννικῶν κολαστηρίων ὑπὸ τοῦ Χριστοῦ διὰ τῆς τῶν μακαρίων ὑπομονῆς, ἑτέρας μηχανὰς ὁ διάβολος ἐπενόει, τὰς κατὰ τὴν εἱρκτὴν ἐν τῷ σκότει καὶ τῷ χαλεπωτάτῳ χωρίῳ συγκλείσεις καὶ τὰς ἐν τῷ ξύλῳ διατάσεις τῶν ποδῶν, ἐπὶ πέμπτον διατεινομένων τρύπημα, καὶ τὰς λοιπὰς αἰκίας ὅσας εἰώθασιν ὀργιζόμενοι ὑπουργοὶ καὶ ταῦτα διαβόλου πλήρεις διατιθέναι τοὺς ἐγκλειομένους· ὥστε ἀποπνιγῆναι τοὺς πλείστους ἐν τῇ εἱρκτῇ, ὅσους γε ὁ κύριος οὕτως ἐξελθεῖν ἠθέλησεν, ἐπιδεικνύων τὴν αὑτοῦ δόξαν.

28 »οἱ μὲν γὰρ βασανισθέντες πικρῶς ὥστε δοκεῖν μηδὲ τῆς πάσης θεραπείας τυχόντας ἔτι ζῆσαι δύνασθαι, παρέμενον ἐν τῇ εἱρκτῇ, ἔρημοι μὲν τῆς παρὰ ἀνθρώπων ἐπιμελείας, ἀναρρωννύμενοι δὲ ὑπὸ κυρίου καὶ ἐνδυναμούμενοι καὶ σώματι καὶ ψυχῇ καὶ τοὺς λοιποὺς παρορμῶντες καὶ παραμυθούμενοι· οἱ δὲ νεαροὶ καὶ ἄρτι συνειλημμένοι, ὧν μὴ προκατῄκιστο τὰ σώματα, τὸ βάρος οὐκ ἔφερον τῆς συγκλείσεως, ἀλλ' ἔνδον ἐναπέθνῃσκον.

[45] Cf. Mt 25,46.
[46] Alusión a la norma apostólica de Act 15,29; esto no implica que estuviera todavía vigente en Lión; cf. MINUCIO FÉLIX, *Octav.* 30.
[47] Cf. *supra* § 5.
[48] Cf. *infra* VI 39,5, el mismo suplicio sufrido por Orígenes.
[49] Cf. Jn 2,11.
[50] La partícula γάρ, que relaciona lo que sigue con la frase anterior, no parece tener sentido, ya que se va a hablar precisamente de los que resisten la cárcel y sobreviven, mientras que acaba de hablar de los que en ella sucumbieron. Partiendo de que, según los párrafos 20,23 y 29, el Señor muestra su gloria en los que soportan todos los tormentos, no en los que mueren antes de tiempo, F. Scheidweiler (a.c., p.128) cree que γάρ relaciona lo que sigue solamente con la frase anterior (sobre la gloria de Dios), incompleta, que debe ser completada con algo así como ἐπιδεικνύων ⟨ὅμως κἀκεῖ⟩ τὴν αὑτοῦ δόξαν (nota 4).
[51] Cf. 2 Tim 4,17.

cuerpos no habían sido torturados previamente, no soportaban el peso del encerramiento y morían allí dentro.

29 »El bienaventurado Potino, a quien se tenía confiado el ministerio del episcopado de Lión[52], sobrepasaba la edad de noventa años y su cuerpo estaba débil. Por causa de esta su debilidad corporal, apenas si podía respirar, mas, por su gran deseo del martirio, el ardor de su espíritu le devolvía las fuerzas[53]. También él fue arrastrado al tribunal con el cuerpo deshaciéndose por la vejez y la enfermedad, pero con su alma dentro, conservada para que por ella triunfara Cristo[54].

30 »Llevado por los soldados ante el tribunal con acompañamiento de las autoridades de la ciudad y de toda plebe gritándole toda clase de injurias[55], como si él mismo fuera Cristo, dio hermoso testimonio[56].

31 »Al interrogarle el gobernador quién era el Dios de los cristianos, dijo: 'Si eres digno, lo conocerás'[57]. Entonces se le arrastró sin miramientos y sufrió diversas heridas; los que estaban cerca le propinaban toda especie de vejámenes con pies y manos, sin el menor respeto a su edad, y los que estaban lejos cada cual arrojaba contra él lo que a mano tenía, y todos creían faltar gravemente y ser unos impíos si omitían alguna insolencia contra él, pues, pensaban que así vengaban a sus dioses. El, respirando apenas, fue arrojado en la cárcel, y al cabo de dos días entregó su alma.

**29** »ὁ δὲ μακάριος Ποθεινός, ὁ τὴν διακονίαν τῆς ἐπισκοπῆς ἐν Λουγδούνῳ πεπιστευμένος, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη τῆς ἡλικίας γεγονὼς καὶ πάνυ ἀσθενὴς τῷ σώματι, μόλις μὲν ἐμπνέων διὰ τὴν προκειμένην σωματικὴν ἀσθένειαν, ὑπὸ δὲ προθυμίας πνεύματος ἀναρρωννύμενος διὰ τὴν ἐγκειμένην τῆς μαρτυρίας ἐπιθυμίαν, καὶ αὐτὸς ἐπὶ τὸ βῆμα ἐσύρετο. τοῦ μὲν σώματος καὶ ὑπὸ τοῦ γήρως καὶ ὑπὸ τῆς νόσου λελυμένου, τηρουμένης δὲ τῆς ψυχῆς ἐν αὐτῷ, ἵνα δι' αὐτῆς Χριστὸς θριαμβεύσῃ·

**30** »ὃς ὑπὸ τῶν στρατιωτῶν ἐπὶ τὸ βῆμα κομισθείς, παραπεμπόντων αὐτὸν τῶν πολιτικῶν ἐξουσιῶν καὶ παντὸς τοῦ πλήθους, ἐπιβοήσεις παντοίας ποιουμένων ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ, ἀπεδίδου τὴν καλὴν μαρτυρίαν.

**31** »ἀνεταζόμενος δὲ ὑπὸ τοῦ ἡγεμόνος τίς εἴη Χριστιανῶν ὁ θεός, ἔφη ‹ἐὰν ᾖς ἄξιος, γνώσῃ›· ἐντεῦθεν δὲ ἀφειδῶς ἐσύρετο καὶ ποικίλας ἔπασχε πληγάς, τῶν μὲν σύνεγγυς χερσὶν καὶ ποσὶν ἐνυβριζόντων παντοίως, μηδὲ τὴν ἡλικίαν αἰδουμένων αὐτοῦ, τῶν δὲ μακράν, ὃ μετὰ χεῖρας ἕκαστος εἶχεν, εἰς αὐτὸν ἀκοντιζόντων, πάντων δὲ ἡγουμένων μεγάλως πλημμελεῖν καὶ ἀσεβεῖν, εἴ τις ἀπολειφθείη τῆς εἰς αὐτὸν ἀσελγείας· καὶ γὰρ τοὺς θεοὺς αὐτῶν ᾤοντο οὕτως ἐκδικήσειν. καὶ μόγις ἐμπνέων ἐρρίφη ἐν τῇ εἱρκτῇ καὶ μετὰ δύο ἡμέρας ἀπέψυξεν.

[52] Se le considera como primer obispo de Lión. Nacido antes del año 87, debió de ser uno de los primeros miembros de aquella comunidad; cf. E. Griffe, o.c., p.13ss.
[53] Cf. Mc 14,38.
[54] Cf. 2 Cor 2,14; Col 2,15.
[55] Cf. Lc 23,1.18.
[56] Cf 1 Tim 6,12-14.
[57] La pregunta debía de ser de rigor; cf. *Martyr. Pionii* 8ss; el tenor de la respuesta parece ser también usual entre los mártires; cf. *infra* § 52.

32 »Fue entonces cuando tuvo lugar una gran dispensación de Dios y se manifestó la inmensa misericordia de Jesús, como raramente se había dado en la comunidad de hermanos, pero muy de acuerdo con el arte de Cristo.

33 »Efectivamente, los que habían renegado en las primeras detenciones fueron también encarcelados y compartían los mismos horrores, ya que en esta ocasión de nada les sirvió su apostasía. A los que confesaban lo que en verdad eran, se los encerraba como cristianos, sin ninguna otra acusación de más; en cambio, a los otros, se los retenía como homicidas e impuros y los castigaban doble que a los demás[58].

34 »Y es que a los primeros les aliviaba la alegría del martirio, la esperanza de lo prometido, el amor de Cristo y el Espíritu del Padre, mientras que a estos otros, su conciencia los atormentaba grandemente, hasta el punto de que, al pasar, podían ser reconocidos por su aspecto entre todos.

35 »Efectivamente, mientras los unos avanzaban gozosos, con mezcla de gloria y de gracia abundantes en sus rostros, de manera que incluso las cadenas los ceñían como espléndido adorno, igual que una novia ataviada con abigarradas fimbrias de oro[59], y esparcían al mismo tiempo el buen olor de Cristo[60] hasta hacer pensar a algunos que se habían ungido con perfumes mundanos, los otros, por el contrario, lo hacían sombríos, cabizbajos, disformes y llenos de toda fealdad, y, por si fuera poco, hasta los paganos los tildaban de innobles y cobardes: tenían la acusación de homicidas a cambio

**32** »ἐνταῦθα δὴ μεγάλη τις οἰκονομία θεοῦ ἐγίνετο καὶ ἔλεος ἀμέτρητον ἀνεφαίνετο Ἰησοῦ, σπανίως μὲν ἐν τῇ ἀδελφότητι γεγονός, μὴ ἀπολειπόμενον δὲ τῆς τέχνης Χριστοῦ.

**33** »οἱ γὰρ κατὰ τὴν πρώτην σύλληψιν ἔξαρνοι γενόμενοι συνεκλείοντο καὶ αὐτοὶ καὶ μετεῖχον τῶν δεινῶν· οὐδὲ γὰρ ἐν τῷ καιρῷ τούτῳ ὄφελός τι αὐτοῖς ἡ ἐξάρνησις ἐγίνετο, ἀλλ' οἱ μὲν ὁμολογοῦντες ὃ καὶ ἦσαν, συνεκλείοντο ὡς Χριστιανοί, μηδεμιᾶς ἄλλης αἰτίας αὐτοῖς ἐπιφερομένης, οὗτοι δὲ λοιπὸν ὡς ἀνδροφόνοι καὶ μιαροὶ κατείχοντο, διπλότερον παρὰ τοὺς λοιποὺς κολαζόμενοι.

**34** »ἐκείνους μὲν γὰρ ἐπεκούφιζεν ἡ χαρὰ τῆς μαρτυρίας καὶ ἡ ἐλπὶς τῶν ἐπηγγελμένων καὶ ἡ πρὸς τὸν Χριστὸν ἀγάπη καὶ τὸ πνεῦμα τὸ πατρικόν, τούτους δὲ τὸ συνειδὸς μεγάλως ἐτιμωρεῖτο, ὥστε καὶ παρὰ τοῖς λοιποῖς ἅπασιν κατὰ τὰς παρόδους διαδήλους τὰς ὄψεις αὐτῶν εἶναι.

**35** »οἳ μὲν γὰρ ἱλαροὶ προῄεσαν, δόξης καὶ χάριτος πολλῆς ταῖς ὄψεσιν αὐτῶν συγκεκραμένης, ὥστε καὶ τὰ δεσμὰ κόσμον εὐπρεπῆ περικεῖσθαι αὐτοῖς, ὡς νύμφῃ κεκοσμημένῃ ἐν κροσσωτοῖς χρυσοῖς πεποικιλμένοις, τὴν εὐωδίαν ὀδωδότες ἅμα τὴν Χριστοῦ, ὥστε ἐνίους δόξαι καὶ μύρῳ κοσμικῷ κεχρῖσθαι αὐτούς· οἳ δὲ κατηφεῖς καὶ ταπεινοὶ καὶ δυσειδεῖς καὶ πάσης ἀσχημοσύνης ἀνάπλεοι, προσέτι δὲ καὶ ὑπὸ τῶν ἐθνῶν ὀνειδιζόμενοι ὡς ἀγεννεῖς καὶ ἄνανδροι, ἀνδροφόνων μὲν ἐγκλήματα ἔχοντες, ἀπολωλεκότες δὲ τὴν πάντιμον καὶ ἔνδοξον καὶ ζωοποιὸν προσηγορίαν. ταῦτα δὴ οἱ λοιποὶ θεωροῦντες ἐστη-

[58] Se les consideraba criminales de derecho común.
[59] Cf. Sal 44,4; San Ignacio de Antioquía, *Ephes.* 11,2; *supra* IV 15,37.
[60] Cf. 2 Cor 2,15.

de haber perdido su nombre venerabilísimo, glorioso y vivificador. Cuando los demás contemplaron esto, se reafirmaron, y los que iban siendo detenidos confesaban ya sin vacilación y sin tener un pensamiento de cálculo diabólico».

36 Después de añadir a lo dicho algunas cosas intermedias continúan:

«Después de esto, en adelante los géneros de muerte de los mártires eran variadísimos, pues con flores de toda especie y de colores diferentes trenzarán ellos una sola corona para ofrecérsela al Padre, y así era necesario que aquellos generosos atletas, después de haber mantenido una lucha variada y haber vencido en toda la línea, recibieran la gran corona de la inmortalidad[61].

37 »Así, pues, Maturo y Santos, lo mismo que Blandina y Atalo, fueron conducidos a las fieras, al lugar público y para común espectáculo de la inhumanidad de los paganos, pues el día de lucha de fieras se dio precisamente por causa de los nuestros.

38 »En el anfiteatro, Maturo y Santos pasaron de nuevo por toda clase de tormentos igual que si antes no hubieran padecido nada en absoluto, o mejor, como atletas que han vencido ya en muchos lances[62] al contrincante y que siguen luchando por la misma corona. De nuevo sufrieron las pasadas de látigos, allí acostumbradas[63], los tirones de las fieras y todo cuanto el pueblo enloquecido, cada cual desde su sitio, gritaba y ordenaba. Y como remate de todo, la silla de hierro, donde los cuerpos, al asarse, lanzaban hasta el público un olor de carne quemada.

ρίχθησαν, καὶ οἱ συλλαμβανόμενοι ἀδιστάκτως ὡμολόγουν, μηδὲ ἔννοιαν ἔχοντες διαβολικοῦ λογισμοῦ».

36 τούτοις μεταξύ τινα ἐπειπόντες, αὖθις ἐπιφέρουσιν

«μετὰ ταῦτα δὴ λοιπὸν εἰς πᾶν εἶδος διῃρεῖτο τὰ μαρτύρια της ἐξόδου αὐτῶν. ἐκ διαφόρων γὰρ χρωμάτων καὶ παντοίων ἀνθῶν ἕνα πλέξαντες στέφανον προσήνεγκαν τῷ πατρί· ἐχρῆν δ' οὖν τοὺς γενναίους ἀθλητὰς ποικίλον ὑπομείναντας ἀγῶνα καὶ μεγάλως νικήσαντας ἀπολαβεῖν τὸν μέγαν τῆς ἀφθαρσίας στέφανον.

37 »ὁ μὲν οὖν Μάτουρος καὶ ὁ Σάγκτος καὶ ἡ Βλανδῖνα καὶ Ἄτταλος ἤγοντο ἐπὶ τὰ θηρία εἰς τὸ δημόσιον καὶ εἰς κοινὸν τῶν ἐθνῶν τῆς ἀπανθρωπίας θέαμα, ἐπίτηδες τῆς τῶν θηριομαχίων ἡμέρας διὰ τοὺς ἡμετέρους διδομένης.

38 »καὶ ὁ μὲν Μάτουρος καὶ ὁ Σάγκτος αὖθις διῄεσαν ἐν τῷ ἀμφιθεάτρῳ διὰ πάσης κολάσεως, ὡς μηδὲν ὅλως προπεπονθότες, μᾶλλον δ' ὡς διὰ πλειόνων ἤδη κλήρων ἐκβεβιακότες τὸν ἀντίπαλον καὶ περὶ τοῦ στεφάνου αὐτοῦ τὸν ἀγῶνα ἔχοντες, ὑπέφερον πάλιν τὰς διεξόδους τῶν μαστίγων τὰς ἐκεῖσε εἰθισμένας καὶ τοὺς ἀπὸ τῶν θηρίων ἑλκηθμοὺς καὶ πάνθ' ὅσα μαινόμενος ὁ δῆμος, ἄλλοι ἀλλαχόθεν, ἐπεβόων καὶ ἐπεκελεύοντο, ἐπὶ πᾶσιν τὴν σιδηρᾶν καθέδραν, ἐφ' ἧς τηγανιζόμενα τὰ σώματα κνίσης αὐτοὺς ἐνεφόρει.

61 Cf. 1 Cor 9,25.

62 Literalmente, «en muchas suertes o lotes». Los atletas iban luchando por pares sorteados, eliminándose hasta quedar el último par en lucha por la corona (VALOIS); cf. *infra* § 42, el mismo sentido de lance o combate.

63 Cf. *infra* § 56; parecida costumbre encontraremos *infra* VIII 7,1; cf. *Acta Perpet. et Fel.* 18.

39 »Pero éstos, ni con todo eso cejaban, sino que todavía se acrecentaba su frenesí queriendo vencer la constancia de aquéllos. Pero ni aun así lograron escuchar de Santos otra cosa que la frase de confesión [64] que desde el comienzo acostumbraba a repetir.

40 »Así, pues, los mártires, como quiera que después de atravesar el gran combate seguían con mucha vida, por último fueron sacrificados [65], convertidos ellos mismos en espectáculo para el mundo [66] aquel día en sustitución de la variada serie de combates de gladiadores.

41 »A Blandina, en cambio, la colgaron de un madero, y quedó expuesta para pasto de las fieras, que se arrojaban a ella. Con sólo verla colgando en forma de cruz [67] y con su oración continua, infundía muchos ánimos a los otros combatientes, que en este combate veían con sus ojos corporales, a través de su hermana, al que por ellos mismos había sido crucificado. Y así ella persuadía [68] a los que creen en Él de que todo el que padece por la gloria de Cristo entra en comunión perpetua con el Dios vivo.

42 »Al no tocarla por entonces ninguna fiera [69], la bajaron del madero y de nuevo se la llevaron a la cárcel, guardándola para otro combate [70]; así, tras vencer aún en más lides, de una parte haría implacable la condena de la serpiente tortuosa [71], y de otra animaría a sus hermanos; ella, pequeña, débil y despreciada, pero revestida del grande e invencible atleta, Cristo [72], batiría en repetidas suertes

**39** »οἱ δ' οὐδ' οὕτως ἔληγον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐξεμαίνοντο, βουλόμενοι νικῆσαι τὴν ἐκείνων ὑπομονήν, καὶ οὐδ' ὣς παρὰ Σάγκτου ἕτερόν τι εἰσήκουσαν παρ' ἣν ἀπ' ἀρχῆς εἴθιστο λέγειν τῆς ὁμολογίας φωνήν.

**40** »οὗτοι μὲν οὖν, δι' ἀγῶνος μεγάλου ἐπὶ πολὺ παραμενούσης αὐτῶν τῆς ψυχῆς, τοὔσχατον ἐτύθησαν, διὰ τῆς ἡμέρας ἐκείνης ἀντὶ πάσης τῆς ἐν τοῖς μονομαχίοις ποικιλίας αὐτοὶ θέαμα γενόμενοι τῷ κόσμῳ·

**41** »ἡ δὲ Βλανδῖνα ἐπὶ ξύλου κρεμασθεῖσα προύκειτο βορὰ τῶν εἰσβαλλομένων θηρίων· ἣ καὶ διὰ τοῦ βλέπεσθαι σταυροῦ σχήματι κρεμαμένη διὰ τῆς εὐτόνου προσευχῆς πολλὴν προθυμίαν τοῖς ἀγωνιζομένοις ἐνεποίει, βλεπόντων αὐτῶν ἐν τῷ ἀγῶνι καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς διὰ τῆς ἀδελφῆς τὸν ὑπὲρ αὐτῶν ἐσταυρωμένον, ἵνα πείσῃ τοὺς πιστεύοντας εἰς αὐτὸν ὅτι πᾶς ὁ ὑπὲρ τῆς Χριστοῦ δόξης παθὼν τὴν κοινωνίαν ἀεὶ ἔχει μετὰ τοῦ ζῶντος θεοῦ

**42** »καὶ μηδενὸς ἁψαμένου τότε τῶν θηρίων αὐτῆς, καθαιρεθεῖσα ἀπὸ τοῦ ξύλου ἀνελήφθη πάλιν εἰς τὴν εἱρκτήν, εἰς ἄλλον ἀγῶνα τηρουμένη, ἵνα διὰ πλειόνων γυμνασμάτων νικήσασα, τῷ μὲν σκολιῷ ὄφει ἀπαραίτητον ποιήσῃ τὴν καταδίκην, προτρέψηται δὲ τοὺς ἀδελφούς, ἡ μικρὰ καὶ ἀσθενὴς καὶ εὐκαταφρόνητος μέγαν καὶ ἀκαταγώνιστον ἀθλητὴν Χριστὸν ἐνδεδυμένη, διὰ πολλῶν κλήρων ἐκβιάσασα τὸν

[64] Cf. *supra* § 20.
[65] Posiblemente a manos del *confector;* cf. *supra* IV 15,38.
[66] Cf. 1 Cor 4,9; Heb 10,33.
[67] Cf. *infra* VIII 7,4; MINUCIO FÉLIX, *Octav.* 29.
[68] Cf. F. SCHEIDWEILER, a.c., p.128.
[69] Cf. *infra* VIII 7,2; SAN IGNACIO DE ANTIOQUÍA, *Roman.* 5,2.
[70] Cf. *supra* § 38.
[71] Cf. Is 27,1; Gén 3,27.
[72] Cf. Rom 13,14; Gál 3,27.

al adversario, y por el combate se ceñiría la corona de la incorruptibilidad [73].

43 »Atalo, por su parte, también fue reclamado con gran empeño por la plebe (pues tenía gran renombre). Entró ya como luchador entrenado, gracias a su buena conciencia, pues se había ejercitado sinceramente en la disciplina cristiana y siempre había sido entre nosotros testigo de la verdad.

44 »Se le hizo conducir dando la vuelta al anfiteatro, precedido de un cartel en que estaba escrito en latín: 'Este es Atalo, el cristiano' [74], mientras el pueblo se enardecía terriblemente contra él. Al enterarse el gobernador de que era romano, mandó que lo llevasen con los demás que estaban en la cárcel, acerca de los cuales escribió una carta al emperador y quedó esperando su respuesta [75].

45 »El tiempo que medió no fue ocioso ni estéril para ellos [76], sino que, por su paciencia, se manifestó la inmensa misericordia de Cristo: por vivir ellos, revivían los muertos, y por ser mártires, otorgaban la gracia a los que no lo eran [77]; así, mucha fue la alegría de la Virgen Madre al recobrar vivos a los mismos que había abortado muertos [78].

46 »Efectivamente, por medio de ellos, la mayoría de los que habían renegado volvían sobre sus pasos [79] y de nuevo eran conce-

ἀντικείμενον καὶ δι' ἀγῶνος τὸν τῆς ἀφθαρσίας στεψαμένη στέφανον.

43 »ὁ δὲ Ἄτταλος καὶ αὐτὸς μεγάλως ἐξαιτηθεὶς ὑπὸ τοῦ ὄχλου (καὶ γὰρ ἦν ὀνομαστός), ἕτοιμος εἰσῆλθεν ἀγωνιστὴς διὰ τὸ εὐσυνείδητον, ἐπειδὴ γνησίως ἐν τῇ Χριστιανῇ συντάξει γεγυμνασμένος ἦν καὶ ἀεὶ μάρτυς ἐγεγόνει παρ' ἡμῖν ἀληθείας.

44 »καὶ περιαχθεὶς κύκλῳ τοῦ ἀμφιθεάτρου, πίνακος αὐτὸν προάγοντος ἐν ᾧ ἐγέγραπτο Ῥωμαϊστί ‹οὗτός ἐστιν Ἄτταλος ὁ Χριστιανός›, καὶ τοῦ δήμου σφόδρα σφριγῶντος ἐπ' αὐτῷ, μαθὼν ὁ ἡγεμὼν ὅτι Ῥωμαῖός ἐστιν, ἐκέλευσεν αὐτὸν ἀναληφθῆναι μετὰ καὶ τῶν λοιπῶν τῶν ἐν τῇ εἱρκτῇ ὄντων, περὶ ὧν ἐπέστειλεν τῷ Καίσαρι καὶ περιέμενεν τὴν ἀπόφασιν τὴν ἀπ' ἐκείνου.

45 »ὁ δὲ διὰ μέσου καιρὸς οὐκ ἀργὸς αὐτοῖς οὐδὲ ἄκαρπος ἐγίνετο, ἀλλὰ διὰ τῆς ὑπομονῆς αὐτῶν τὸ ἀμέτρητον ἔλεος ἀνεφαίνετο Χριστοῦ· διὰ γὰρ τῶν ζώντων ἐζωοποιοῦντο τὰ νεκρά, καὶ μάρτυρες τοῖς μὴ μάρτυσιν ἐχαρίζοντο, καὶ ἐνεγίνετο πολλὴ χαρὰ τῇ παρθένῳ μητρί, οὓς ὡς νεκροὺς ἐξέτρωσε, τούτους ζῶντας ἀπολαμβανούσῃ.

46 »δι' ἐκείνων γὰρ οἱ πλείους τῶν ἠρνημένων ἀνεμετροῦντο καὶ ἀνεκυΐσκοντο καὶ ἀνεζωπυροῦντο καὶ ἐμάνθανον ὁμο-

[73] Cf. 1 Cor 9,25.

[74] Cartel obligatorio para los condenados que eran ciudadanos romanos; cf. SUETONIO, *Calig.* 32; *Domit.* 10; DION CASIO, *Hist.* 54,3. Pero en la mente del redactor puede estar presente, más bien, el cartel de la cruz de Jesús; cf. Mt 27,37; Mc 15,26; Lc 23,38; Jn 19,19.

[75] Las instrucciones que pedía el gobernador atañían a todos los presos. Esta gestión demuestra que el emperador tenía que ver algo en la persecución.

[76] Cf. 2 Pe 1,8.

[77] Cf. 2 Cor 2,7; Col 3,13.

[78] La «Virgen Madre» es la Iglesia; cf. *supra* III 32,7 nota 248. No sabemos exactamente cuál puede ser el alcance de la intervención de los confesores de la fe en la donación de la gracia. ¿Se trata de la reconciliación penitencial o sólo de una acción de captación?; cf. *infra* § 2,5; A. D'ALES, *L'Édict de Calliste. Études sur les origines de la pénitence chrétienne* (París 1914) p.244-51; P. GALTIER, *L'Église et la rémission des péchés aux premiers siècles* (París 1932) p.36-41.

[79] El sentido de medir una distancia volviendo sobre los propios pasos, es decir, de

bidos, se reanimaban y aprendían a confesar y, ya con vida y bien robustecidos, se iban acercando al tribunal para ser de nuevo interrogados por el gobernador, mientras Dios, que no quiere la muerte del pecador [80], sino que es favorable al arrepentimiento, les suavizaba el camino.

47 »Efectivamente, el emperador disponía en su rescripto que los unos fueran degollados y los otros, con tal que renegaran, absueltos [81]. Al empezar a tenerse la gran fiesta local (concurren a ella en muchedumbre gentes de todas las razas), el gobernador hizo llevar de nuevo al tribunal a los bienaventurados, en plan de teatro y de espectáculo para las muchedumbres. Por eso les interrogó de nuevo, y a los que parecían estar en posesión del título de ciudadanos romanos, los hacía decapitar [82], mientras que a los demás los mandaba a las fieras.

48 »Mas Cristo fue grandemente glorificado en aquellos que primeramente habían renegado y que ahora, contra lo que podían sospechar los paganos, confesaban su fe. A éstos, efectivamente, se los interrogaba en privado, como si al punto hubieran de ser puestos en libertad, pero al confesar su fe se los iba añadiendo a la fila de los mártires. Quedaron fuera, sin embargo, los que nunca tuvieron ni un vestigio de fe, ni sentido de la vestidura nupcial [83] ni idea del temor de Dios [84], sino que con su manera de vivir infamaban el camino [85], es decir, los hijos de la perdición [86].

λογεῖν καὶ ζῶντες ἤδη καὶ τετονωμένοι προσῄεσαν τῷ βήματι, ἐγγλυκαίνοντος τοῦ τὸν μὲν θάνατον τοῦ ἁμαρτωλοῦ μὴ βουλομένου, ἐπὶ δὲ τὴν μετάνοιαν χρηστευομένου θεοῦ, ἵνα καὶ πάλιν ἐπερωτηθῶσιν ὑπὸ τοῦ ἡγεμόνος.

47 »ἐπιστείλαντος γὰρ τοῦ Καίσαρος τοὺς μὲν ἀποτυμπανισθῆναι, εἰ δέ τινες ἀρνοῖντο, τούτους ἀπολυθῆναι, τῆς ἐνθάδε πανηγύρεως (ἔστιν δὲ αὕτη πολυάνθρωπος ἐκ πάντων τῶν ἐθνῶν συνερχομένων εἰς αὐτήν) ἀρχομένης συνεστάναι, ἀνῆγεν ἐπὶ τὸ βῆμα θεατρίζων τοὺς μακαρίους καὶ ἐμπομπεύων τοῖς ὄχλοις· δι' ὃ καὶ πάλιν ἀνήταζεν, καὶ ὅσοι μὲν ἐδόκουν πολιτείαν Ῥωμαίων ἐσχηκέναι, τούτων ἀπέτεμνε τὰς κεφαλάς, τοὺς δὲ λοιποὺς ἔπεμπεν εἰς θηρία.

48 »ἐδοξάζετο δὲ μεγάλως ὁ Χριστὸς ἐπὶ τοῖς πρότερον ἀρνησαμένοις, τότε παρὰ τὴν τῶν ἐθνῶν ὑπόνοιαν ὁμολογοῦσιν. καὶ γὰρ ἰδίᾳ οὗτοι ἀνητάζοντο ὡς δῆθεν ἀπολυθησόμενοι, καὶ ὁμολογοῦντες, προσετίθεντο τῷ τῶν μαρτύρων κλήρῳ· ἔμειναν δὲ ἔξω οἱ μηδὲ ἴχνος πώποτε πίστεως μηδὲ αἴσθησιν ἐνδύματος νυμφικοῦ μηδὲ ἔννοιαν φόβου θεοῦ σχόντες, ἀλλὰ καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν βλασφημοῦντες τὴν ὁδόν, τοῦτ' ἔστιν οἱ υἱοὶ τῆς ἀπωλείας,

desandar lo andado, creo que permite mantener la lectura ἀνεμετροῦντο de ATERB, sin necesidad de acudir a las conjeturas de M y del cod. París. 1437 o a la propuesta de Schwartz: ἀνεμασοῦντο.

80 Cf. Ez 18,23; 33,11; 2 Pe 3,9.

81 Marco Aurelio se atiene en su respuesta a la regla marcada por Trajano en su rescripto a Plinio, cf. *supra* III 33.

82 Atalo sería una excepción; cf. *infra* § 50, sin duda víctima de otro abuso de los denunciados por J. Zeiller (a.c., p.53).

83 Cf. Mt 22,11-13.

84 Cf. Rom 2,24.

85 Cf. Act 19,9; 2 Pe 2,2.

86 Cf. Jn 17,12; 2 Tes 2,3.

49 »En cambio, a los demás, a todos, se los incorporó a la Iglesia [87]. Cuando estaban siendo interrogados, un tal Alejandro, frigio de nacimiento y médico de profesión, que había vivido muchos años en las Galias y que de casi todos era conocido por su amor a Dios y por la franqueza de su hablar [88] (pues también participaba del carisma apostólico) [89], se hallaba de pie junto al tribunal y con gestos los animaba a la confesión, pareciendo a los que rodeaban la tribuna como que tuviera dolores de parto [90].

50 »La plebe, enfureciéndose porque de nuevo confesaban los que primeramente renegaran, se puso a gritar contra Alejandro, creyéndole causante de todo, y el gobernador, reparando en él, le preguntó quién era y, como éste respondiese: 'Un cristiano', montó en cólera y le condenó a las fieras. Y al día siguiente entró en la arena junto con Atalo, ya que el gobernador, por congraciarse con la plebe, entregó de nuevo Atalo a las fieras.

51 »Los dos pasaron por todos los instrumentos inventados para torturar en el anfiteatro y sostuvieron un gran combate. Por último también ellos fueron sacrificados [91]. Alejandro ni sollozó ni murmuró lo más mínimo, sino que en su corazón conversaba con Dios.

52 »Atalo, en cambio, cuando le pusieron sobre la silla de hierro y empezó a quemarse y de su cuerpo se desprendía el olor de carne asada, dijo dirigiéndose en latín a la muchedumbre: '¡Ya lo veis!, esto es comer hombres, lo que vosotros estáis haciendo.

**49** »οἱ δὲ λοιποὶ πάντες τῇ ἐκκλησίᾳ προσετέθησαν· ὧν καὶ ἀνεταζομένων, Ἀλέξανδρός τις, Φρὺξ μὲν τὸ γένος, ἰατρὸς δὲ τὴν ἐπιστήμην, πολλοῖς ἔτεσιν ἐν ταῖς Γαλλίαις διατρίψας καὶ γνωστὸς σχεδὸν πᾶσιν διὰ τὴν πρὸς θεὸν ἀγάπην καὶ παρρησίαν τοῦ λόγου (ἦν γὰρ καὶ οὐκ ἄμοιρος ἀποστολικοῦ χαρίσματος), παρεστὼς τῷ βήματι καὶ νεύματι προτρέπων αὐτοὺς πρὸς τὴν ὁμολογίαν, φανερὸς ἦν τοῖς περιεστηκόσιν τὸ βῆμα ὥσπερ ὠδίνων.

**50** »ἀγανακτήσαντες δὲ οἱ ὄχλοι ἐπὶ τῷ τοὺς πρότερον ἠρνημένους αὖθις ὁμολογεῖν, κατεβόησαν τοῦ Ἀλεξάνδρου ὡς ἐκείνου τοῦτο ποιοῦντος, καὶ ἐπιστήσαντος τοῦ ἡγεμόνος καὶ ἀνετάσαντος αὐτὸν τίς εἴη, τοῦ δὲ φήσαντος ὅτι ‹Χριστιανός›, ἐν ὀργῇ γενόμενος κατέκρινεν αὐτὸν πρὸς θηρία. καὶ τῇ ἐπιούσῃ εἰσῆλθεν μετὰ καὶ τοῦ Ἀττάλου, καὶ γὰρ καὶ τὸν Ἄτταλον τῷ ὄχλῳ χαριζόμενος ὁ ἡγεμὼν ἐξέδωκε πάλιν πρὸς θηρία·

**51** »οἳ καὶ διὰ πάντων διελθόντες τῶν ἐν τῷ ἀμφιθεάτρῳ πρὸς κόλασιν ἐξηυρημένων ὀργάνων καὶ μέγιστον ὑπομείναντες ἀγῶνα, τοὔσχατον ἐτύθησαν καὶ αὐτοί, τοῦ μὲν Ἀλεξάνδρου μήτε στενάξαντος μήτε γρύξαντός τι ὅλως, ἀλλὰ κατὰ καρδίαν ὁμιλοῦντος τῷ θεῷ,

**52** »ὁ δὲ Ἄτταλος, ὁπότε ἐπὶ τῆς σιδηρᾶς ἐπετέθη καθέδρας καὶ περιεκαίετο, ἡνίκα ἡ ἀπὸ τοῦ σώματος κνῖσα ἀνεφέρετο, ἔφη πρὸς τὸ πλῆθος τῇ Ῥωμαϊκῇ φωνῇ ‹ἰδοὺ τοῦτό ἐστιν ἀνθρώπους ἐσθίειν, ὃ

[87] Cf. Act 2,41.
[88] Cf. Act 4,29-31; *supra* IV 15,47 nota 118.
**13** »εἶπεν γὰρ ἄν τι τούτων τῶν προδεδηλωμένων, σαφῶς ἑαυτὸν ἐμφανίσαι βουλόμενος· ἀλλὰ τούτων μὲν οὐδέν, ἀδελφὸν δὲ ἡμῶν καὶ συγκοινωνὸν εἶπεν καὶ μάρτυρα Ἰησοῦ καὶ μακάριον ἐπὶ τῇ θέᾳ καὶ ἀκοῇ τῶν ἀποκαλύψεων.

**14** »πολλοὺς δὲ ὁμωνύμους Ἰωάννῃ τῷ ἀποστόλῳ νομίζω γεγονέναι, οἳ διὰ τὴν πρὸς ἐκεῖνον ἀγάπην καὶ τῷ θαυμάζειν καὶ ζηλοῦν ἀγαπηθῆναί τε ὁμοίως αὐτῷ βούλεσθαι ὑπὸ τοῦ κυρίου, καὶ τὴν ἐπωνυμίαν τὴν αὐτὴν ἠσπάσαντο, ὥσπερ καὶ ὁ Παῦλος πολὺς καὶ δὴ καὶ ὁ Πέτρος ἐν τοῖς τῶν πιστῶν παισὶν ὀνομάζεται.

**15** »ἔστιν μὲν οὖν καὶ ἕτερος Ἰωάννης ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, ὁ ἐπικληθεὶς Μάρκος, ὃν Βαρναβᾶς καὶ Παῦλος ἑαυτοῖς συμπαρέλαβον, περὶ οὗ καὶ πάλιν λέγει ‹εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην›. εἰ δὲ οὗτος ὁ γράψας ἐστίν, οὐκ ἂν φαίην· οὐδὲ γὰρ ἀφῖχθαι σὺν αὐτοῖς εἰς τὴν Ἀσίαν γέγραπται, ἀλλὰ ‹ἀναχθέντες μέν›, φησίν, ‹ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας, Ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα›·

208 Ap 22,7-8.
209 Cf. Jn 13,23-25; 19,26; 20,2; 21,20.
210 Cf. Jn 21,2.
211 1 Jn 1,1-3; Jn 19,35; 21,24.
212 Cf. Act 1,9.
213 Cf. Act 22,7.
214 Act 12,25.
215 Act 13,5.
216 Act 13,13.

16 »Yo creo que fue otro de los que vivieron en Asia [217]. Se dice que en Efeso hubo dos sepulcros y que cada uno de los dos se decía ser de Juan [218].

17 »Y por los pensamientos, por las palabras y por su ordenación, se comprenderá naturalmente que el uno es persona diferente del otro. Efectivamente, el *Evangelio* y la *Carta* concuerdan entre sí.

18 »Y los dos comienzan igual. Aquél dice: *En el principio era el Verbo* [219]; ésta: *Lo que desde el principio* [220]; y aquél dice: *y el Verbo se hizo carne y plantó su tienda entre nosotros y contemplamos su gloria, gloria como de unigénito del Padre* [221]; y ésta las mismas palabras un poco cambiadas: *Lo que hemos oído, lo que hemos visto con nuestros ojos, lo que hemos contemplado y nuestras manos palparon acerca del Verbo de la vida, y la vida se manifestó* ... [222].

19 »Porque esto es lo que pone como preludio, apuntando, según demostró en lo que sigue, a los que andaban diciendo que el Señor no había venido en la carne, por lo cual había tenido también el cuidado de añadir: *Y lo que hemos visto lo atestiguamos, y os anunciamos la vida eterna, la que estaba en el Padre y se nos ha manifestado. Lo que hemos visto y oído os lo anunciamos también a vosotros* [223].

20 »Se mantiene fiel a sí mismo y no se aparta de lo que se ha propuesto, sino que todo lo va explicando con los mismos principios y las mismas expresiones, algunas de las cuales vamos a recordarlas brevemente:

**16** »ἄλλον δέ τινα οἶμαι τῶν ἐν Ἀσίᾳ γενομένων, ἐπεὶ καὶ δύο φασὶν ἐν Ἐφέσῳ γενέσθαι μνήματα καὶ ἑκάτερον Ἰωάννου λέγεσθαι.

**17** »καὶ ἀπὸ τῶν νοημάτων δὲ καὶ ἀπὸ τῶν ῥημάτων καὶ τῆς συντάξεως αὐτῶν εἰκότως ἕτερος οὗτος παρ' ἐκεῖνον ὑποληφθήσεται.

**18** »συνᾴδουσι μὲν γὰρ ἀλλήλοις τὸ εὐαγγέλιον καὶ ἡ ἐπιστολή, ὁμοίως τε ἄρχονται· τὸ μέν φησιν ‹ἐν ἀρχῇ ἦν ὁ λόγος›, ἡ δὲ ‹ὃ ἦν ἀπ' ἀρχῆς›· τὸ μέν φησιν ‹καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός›, ἡ δὲ τὰ αὐτὰ σμικρῷ παρηλλαγμένα ‹ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λογόυ τῆς ζωῆς καὶ ἡ ζωὴ ἐφανερώθη›.

**19** »ταῦτα γὰρ προανακρούεται, διατεινόμενος, ὡς ἐν τοῖς ἑξῆς ἐδήλωσεν, πρὸς τοὺς οὐκ ἐν σαρκὶ φάσκοντας ἐληλυθέναι τὸν κύριον· δι' ἃ καὶ συνῆψεν ἐπιμελῶς ‹καὶ ὃ ἑωράκαμεν, μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν· ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν καὶ ὑμῖν›.

**20** »ἔχεται αὐτοῦ καὶ τῶν προθέσεων οὐκ ἀφίσταται, διὰ δὲ τῶν κεφαλαίων καὶ ὀνομάτων πάντα διεξέρχεται· ὧν τινὰ μὲν ἡμεῖς συντόμως ὑπομνήσομεν,

[217] Dionisio da por cierto que tanto el autor del cuarto *Evangelio* como el del *Apocalipsis* vivieron en Asia.
[218] Cf. *supra* III 39,6.
[219] Jn 1,1.
[220] 1 Jn 1,1.
[221] Jn 1,14.
[222] 1 Jn 1,1-2.
[223] 1 Jn 1,2-3.

21 »Quien ponga aplicación al leer encontrará en el uno y en la otra muchas veces las expresiones: 'La vida' [224], 'la luz' [225], 'apartamiento de las tinieblas' [226]; y continuamente: 'la verdad' [227], 'la gracia' [228], 'la alegría' [229], 'la carne [230] y la sangre [231] del Señor', 'el juicio' [232], 'el perdón de los pecados' [233], 'el amor de Dios para con nosotros [234], el mandato de amarnos los unos a los otros' [235] y que 'hay que guardar todos los mandamientos' [236]; la refutación del mundo [237], del diablo [238] y del anticristo [239], la promesa del Espíritu Santo [240], la adopción como hijos por parte de Dios [241], la fe [242], que se nos exige absolutamente; el Padre y el Hijo [243], por todas las partes. Y en una palabra: es evidente que quienes se fijan en todas sus características ven que tanto el *Evangelio* como la *Carta* presentan una misma y única coloración.

22 »En cambio, el *Apocalipsis* es muy diferente y ajeno a estos escritos. Con ninguno de ellos está ligado ni tiene afinidad, y casi, por decirlo así, ni una sílaba tiene en común con ellos.

23 »Pero es que ni la *Carta* (porque dejemos ya el *Evangelio)* tiene la menor mención o el menor pensamiento sobre el *Apocalipsis*, ni el *Apocalipsis* sobre la *Carta*, en tanto que Pablo deja en-

21 »ὁ δὲ προσεχῶς ἐντυγχάνων εὑρήσει ἐν ἑκατέρῳ πολλὴν τὴν ζωήν, πολὺ τὸ φῶς ἀποτροπὴν τοῦ σκότους, συνεχῆ τὴν ἀλήθειαν τὴν χάριν τὴν χαρὰν τὴν σάρκα καὶ τὸ αἷμα τοῦ κυρίου τὴν κρίσιν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν τὴν πρὸς ἡμᾶς ἀγάπην τοῦ θεοῦ τὴν πρὸς ἀλλήλους ἡμᾶς ἀγάπης ἐντολήν, ὡς πάσας δεῖ φυλάττειν τὰς ἐντολάς· ὁ ἔλεγχος τοῦ κόσμου τοῦ διαβόλου τοῦ ἀντιχρίστου ἡ ἐπαγγελία τοῦ ἁγίου πνεύματος ἡ υἱοθεσία τοῦ θεοῦ ἡ διόλου πίστις ἡμῶν ἀπαιτουμένη ὁ πατὴρ καὶ ὁ υἱός, πανταχοῦ· καὶ ὅλως διὰ πάντων χαρακτηρίζοντας ἕνα καὶ τὸν αὐτὸν συνορᾶν τοῦ τε εὐαγγελίου καὶ τῆς ἐπιστολῆς χρῶτα πρόκειται.

22 »ἀλλοιοτάτη δὲ καὶ ξένη παρὰ ταῦτα ἡ Ἀποκάλυψις, μήτε ἐφαπτομένη μήτε γειτνιῶσα τούτων μηδενί, σχεδόν, ὡς εἰπεῖν, μηδὲ συλλαβὴν πρὸς αὐτὰ κοινὴν ἔχουσα·

23 »ἀλλ' οὐδὲ μνήμην τινὰ οὐδὲ ἔννοιαν οὔτε ἡ ἐπιστολὴ τῆς Ἀποκαλύψεως ἔχει (ἔα γὰρ τὸ εὐαγγέλιον) οὔτε τῆς ἐπιστολῆς ἡ Ἀποκάλυψις, Παύλου διὰ τῶν ἐπισ-

224 Jn 1,4 *et passim;* 1 Jn 2,25; 3,14 *et passim.*
225 Jn 1-12 *et passim;* 1 Jn 1,5-7; 2,8-10.
226 Esta expresión no es de Juan, pero sí la idea; v.gr., Jn 1,5; 3,19; 6,17; 8,12; 12,35.46. 1 Jn 1,5; 2,9.11. La expresión más allegada es la del discurso de Pablo ante Agripa: Act 26,18;
227 Jn 1,14 *et passim;* 1 Jn 1,8; 3,19 *et passim.*
228 El griego χάρις es más bien término raro en San Juan: sólo aparece en el prólogo, unida a ἀληθῆ (Jn 1,14.16.17); en 1 Jn no aparece nunca, y sólo una vez en las restantes cartas: 2 Jn 3; 3 Jn 4.
229 Jn 3,29; 1 Jn 1,4; 2 Jn 12; 3 Jn 4.
230 Jn 1,13-14; 6,53-56; 1 Jn 4,2.
231 Jn 6,53-56; 19,34; 1 Jn 1,7; 5,6-8.
232 Jn 3,19; 1 Jn 4,17; cf. 2,18.
233 Cf. Jn 20,23; 1 Jn 1,9; 2,12; 3,5.
234 Jn 3,16; 14,23; 17,23; 1 Jn 3,1; 4,11.
235 Jn 13,34; 15,12-13; 1 Jn 3,23.
236 Jn 15,10; 1 Jn 2,3; 3,22.
237 Jn 16,8; 1 Jn 2,16.
238 1 Jn 3,8; cf. 2,14.
239 1 Jn 2,18.
240 Jn 14,16; 1 Jn 3,24; 4,13; cf. 2,20.
241 Jn 1,12; 11,52; 1 Jn 3,1-2.
242 Jn 1,7; 1 Jn 5,4.
243 Jn 3,36 *et passim;* 1 Jn 4,14 *et passim.*

trever en sus *Cartas* algo sobre sus revelaciones, aunque no las consignó por ellas mismas [244].

24 »Pero incluso por su estilo es posible todavía reconocer la diferencia del *Evangelio* y de la *Carta* respecto del *Apocalipsis*.

25 »Aquéllos, efectivamente, no sólo están escritos sin faltas contra la lengua griega, sino incluso con la máxima elocuencia por su dicción, sus razonamientos y la construcción de sus expresiones. Por lo menos están muy lejos de que se encuentre en ellos algún vocablo bárbaro, un solecismo o, en general, un vulgarismo, pues su autor, según parece, poseía los dos saberes [245], por haberle otorgado ambos graciosamente el Señor: el del conocimiento y el del lenguaje.

26 »En cambio, el otro no negaré que ha visto revelaciones y que recibió conocimiento y profecía [246]; sin embargo, no creo que su estilo y su lengua sean exactamente griegas, antes bien utiliza idiotismos bárbaros y en algunas partes incluso comete solecismos. No es preciso ahora dar una selección,

27 »puesto que tampoco dije esto por mofa (que nadie lo piense) sino únicamente para establecer la desigualdad de estos escritos».

τολῶν ὑποφήναντός τι καὶ περὶ τῶν ἀποκαλύψεων αὐτοῦ, ἃς οὐκ ἐνέγραψεν καθ' αὐτάς.

**24** »ἔτι δὲ καὶ διὰ τῆς φράσεως τὴν διαφορὰν ἔστιν τεκμήρασθαι τοῦ εὐαγγελίου καὶ τῆς ἐπιστολῆς πρὸς τὴν 'Αποκάλυψιν.

**25** »τὰ μὲν γὰρ οὐ μόνον ἀπταίστως κατὰ τὴν τῶν 'Ελλήνων φωνήν, ἀλλὰ καὶ λογιώτατα ταῖς λέξεσιν τοῖς συλλογισμοῖς ταῖς συντάξεσιν τῆς ἑρμηνείας γέγραπται, πολλοῦ γε δεῖ βάρβαρόν τινα φθόγγον ἢ σολοικισμὸν ἢ ὅλως ἰδιωτισμὸν ἐν αὐτοῖς εὑρεθῆναι· ἑκάτερον γὰρ εἶχεν, ὡς ἔοικεν, τὸν λόγον, ἀμφοτέρους αὐτῷ χαρισαμένου τοῦ κυρίου, τόν τε τῆς γνώσεως τόν τε τῆς φράσεως·

**26** »τούτῳ δὲ ἀποκαλύψεις μὲν ἑωρακέναι καὶ γνῶσιν εἰληφέναι καὶ προφητείαν οὐκ ἀντερῶ, διάλεκτον μέντοι καὶ γλῶσσαν οὐκ ἀκριβῶς ἑλληνίζουσαν αὐτοῦ βλέπω, ἀλλ' ἰδιώμασίν τε βαρβαρικοῖς χρώμενον καὶ που καὶ σολοικίζοντα· ἅπερ οὐκ ἀναγκαῖον νῦν ἐκλέγειν·

**27** »οὐδὲ γὰρ ἐπισκώπτων (μή τις νομίσῃ) ταῦτα εἶπον, ἀλλὰ μόνον τὴν ἀνομοιότητα διευθύνων τούτων τῶν γραφῶν»

[244] Cf. 2 Cor 12,1-9; Gál 1,12; 2,2; Ef 3,3.

[245] Dionisio utiliza la palabra λόγον seguida luego de los dos genitivos γνώσεως y φράσεως; a pesar de la posible referencia a 1 Cor 12,8, no traduzco «palabra», sino «saber»: Dionisio quiere expresar el dominio del pensamiento y del lenguaje que aparece en la composición del cuarto *Evangelio*. Sobre la argumentación de Dionisio, cf. E. B. Allo, *Saint Jean. L'Apocalypse* (París 1933) p.CXXIX-CLIV.

[246] Cf. 1 Cor 14,1-6.

# 26

## [DE LAS CARTAS DE DIONISIO]

1 Además de estas cartas, se conservan también otras muchas de Dionisio, como la dirigida a Ammón, obispo de la iglesia de Bernice, contra Sabelio; a Telesforo, a Eufranor; de nuevo a Ammón y a Euporo [247], contra Sabelio. Y sobre el mismo tema compuso también otros cuatro escritos que dirigió a su homónimo de Roma Dionisio [248].

2 Y entre nosotros, aparte de éstas, existen también muchas cartas suyas e incluso prolijos tratados en forma de cartas, como los dedicados a su hijo Timoteo *Sobre la naturaleza* [249], y el otro *Sobre las tentaciones* [250], que también dedicó a Eufranor.

3 Además de estas obras, escribiendo también a Basílides, obispo de las iglesias de Pentápolis, él mismo dice que tiene escrito un *Comentario del comienzo del Eclesiastés* [251]. Y dirigidas al mismo nos ha dejado diversas cartas.

Todo esto escribió Dionisio, pero, después de historiar estas cosas, ya es hora de que entreguemos al conocimiento de la posteridad también cómo era nuestra generación [252].

ΚϚʹ

1 Ἐπὶ ταύταις τοῦ Διονυσίου φέρονται καὶ ἄλλαι πλείους ἐπιστολαί, ὥσπερ αἱ κατὰ Σαβελλίου πρὸς Ἄμμωνα τῆς κατὰ Βερνίκην ἐκκλησίας ἐπίσκοπον καὶ ἡ πρὸς Τελεσφόρον καὶ ἡ πρὸς Εὐφράνορα καὶ πάλιν Ἄμμωνα καὶ Εὔπορον· συντάττει δὲ περὶ τῆς αὐτῆς ὑποθέσεως καὶ ἄλλα τέσσαρα συγγράμματα, ἃ τῷ κατὰ Ῥώμην ὁμωνύμῳ Διονυσίῳ προσφωνεῖ.

2 καὶ πλείους δὲ παρὰ ταύτας εἰσὶν αὐτοῦ παρ' ἡμῖν ἐπιστολαὶ καὶ δὴ καὶ πολυεπεῖς λόγοι ἐν ἐπιστολῆς χαρακτῆρι γραφέντες, ὡς οἱ περὶ φύσεως, Τιμοθέῳ τῷ παιδὶ προσπεφωνημένοι, καὶ ὁ περὶ πειρασμῶν, ὃν καὶ αὐτὸν Εὐφράνορι ἀνατέθεικεν.

3 ἐπὶ τούτοις καὶ Βασιλείδῃ τῶν κατὰ τὴν Πεντάπολιν παροικιῶν ἐπισκόπῳ γράφων, φησὶν ἑαυτὸν εἰς τὴν ἀρχὴν ἐξήγησιν πεποιῆσθαι τοῦ Ἐκκλησιαστοῦ, διαφόρους δ' ἡμῖν [τε] καὶ πρὸς τοῦτον καταλέλοιπεν ἐπιστολάς. τοσαῦτα ὁ Διονύσιος· ἀλλὰ γὰρ ἤδη μετὰ τὴν τούτων ἱστορίαν φέρε, καὶ τὴν καθ' ἡμᾶς τοῖς μετέπειτα γνωρίζειν γενεὰν ὁποία τις ἦν, παραδῶμεν.

247 Lo mismo que Ammón, seguramente se trata de obispos de distintas poblaciones de la región cirenaica.

248 Por Eusebio, en su HE, es todo lo que sabemos de la lucha antisabeliana de Dionisio de Alejandría, lucha, no obstante, de gran importancia en su vida y de no pequeña repercusión en la historia de los dogmas, según nos informa San Atanasio *(De sentent. Dionys.* 13). Los fragmentos conservados los ha recogido C. L. Feltoe (o.c., p.165-198); cf. W. BIENERT, *Dionysius von Alexandrien zur Frage des Origenismus in dritten Jahrhundert* = Patristische Texte und Studien, 21 (Berlin 1978).

249 Cf. *supra* VI 40,4. Dirigido contra los epicúreos, Eusebio ha conservado algunos fragmentos en su PE 14,23-27, reproducidos, junto con otros pocos, por Feltoe (o.c., p.127-164).

250 Este se ha perdido.

251 C. L. Feltoe (o.c., p.208-227) recoge los posibles fragmentos restantes de esta obra, tomados principalmente de Procopio de Gaza. La *Carta a Basílides*, que recoge en las páginas 91-105, no hace referencia ninguna al *Comentario;* debe de ser una de las «diversas cartas» aludidas.

252 Eusebio empieza a hablar de las personas y de los acontecimientos que considera contemporáneos suyos: de aquéllas, porque murieron después de nacido él; de éstos, por ocurrir también después de su nacimiento. Es el único punto de referencia para fijar la fecha de éste, siquiera aproximadamente, como se dijo en la introducción.

# 27

## [Sobre Pablo de Samosata y la herejía que suscitó en Antioquía]

1 A Sixto, que presidió la iglesia de Roma durante once años, le sucede Dionisio, homónimo del de Alejandría [253]. Y en este tiempo, al emigrar también Demetriano de esta vida en Antioquía, recibió el episcopado Pablo, el de Samosata [254].

2 Como quiera que éste, contrariamente a la enseñanza de la Iglesia, tenía acerca de Cristo pensamientos bajos y a ras de tierra, diciendo que por naturaleza fue un hombre común [255], Dionisio de Alejandría, invitado para asistir al concilio, dando por excusa a la vez su vejez y su debilidad corporal, aplaza su presencia personal, y por medio de una carta expone su pensamiento sobre el tema debatido [256]. Los otros pastores de las iglesias, en cambio, cada cual desde su tierra, se iban reuniendo como contra una peste del rebaño de Cristo, y todos se apresuraban hacia Antioquía.

## ΚΖ'

1 Ξύστον τῆς 'Ρωμαίων ἐκκλησίας ἔτεσιν ἕνδεκα προστάντα διαδέχεται τῷ κατ' Ἀλεξάνδρειαν ὁμώνυμος Διονύσιος. ἐν τούτῳ δὲ καὶ Δημητριανοῦ κατ' Ἀντιόχειαν τὸν βίον μεταλλάξαντος, τὴν ἐπισκοπὴν Παῦλος ὁ ἐκ Σαμοσάτων παραλαμβάνει.

2 τούτου δὲ ταπεινὰ καὶ χαμαιπετῆ περὶ τοῦ Χριστοῦ παρὰ τὴν ἐκκλησιαστικὴν διδασκαλίαν φρονήσαντος ὡς κοινοῦ τὴν φύσιν ἀνθρώπου γενομένου, ὁ μὲν κατ' Ἀλεξάνδρειαν Διονύσιος παρακληθεὶς ὡς ἂν ἐπὶ τὴν σύνοδον ἀφίκοιτο, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος, ἀνατίθεται τὴν παρουσίαν, δι' ἐπιστολῆς τὴν αὐτοῦ γνώμην, ἣν ἔχοι περὶ τοῦ ζητουμένου, παραστήσας, οἱ δὲ λοιποὶ τῶν ἐκκλησιῶν ποιμένες ἄλλος ἀλλοθεν ὡς ἐπὶ λυμεῶνα τῆς Χριστοῦ ποίμνης συνῄεσαν, οἱ πάντες ἐπὶ τὴν Ἀντιόχειαν σπεύδοντες.

[253] Eusebio, *Chronic. ad annum* 266: HELM, p.221. El haber tomado por años (lo mismo en la *Crónica* que en HE) los meses de pontificado de Sixto II (martirizado el 6 de agosto de 258, según informa San Cipriano [*Epist.* 80,1,4]) hace caer a Eusebio en toda una serie de inconsecuencias cronológicas, v.gr.: Dionisio de Alejandría y Dionisio de Roma se habrían carteado siendo obispos, a pesar de que el primero había muerto en 264-265 (cf. *infra* 28,3). De hecho, Dionisio de Roma no comenzó su pontificado hasta el 22 de julio de 259.

[254] Eusebio aquí hace coincidir en el tiempo el cambio de obispos en las sedes de Antioquía y de Roma el año 266, según sus cálculos o sus fuentes. En cambio, para Antioquía, en la *Crónica*, utilizando quizás otra fuente, se acerca más a la verdad (*Chronic. ad annum* 261: HELM, p.220). Al caer Antioquía en poder de los persas en 256, Demetriano salió desterrado; cuando murió, fue elegido, en 260, Pablo de Samosata; cf. F. Loofs, *Paulus von Samosata. Eine Untersuchung zur altkirchlichen Literatur der Dogmengeschichte*: TU 3. Rh.14,5 (Leipzig 1924) 51ss; G. Bardy, *Paul de Samosate* (Lovaina ²1929) p.241-250.

[255] Es todo lo que Eusebio nos dice sobre la doctrina de Pablo de Samosata. Sobre ella, cf. H. J. Lawlor, *The sayings of Paul of Samosata*: JTS 19 (1917-18) 24-45; 115-120; H. de Riedmatten, *Les Actes du procès de Paul de Samosate. Étude sur la Christologie du III^e au IV^e siècle*: Paradosis 6 (Friburgo-Suiza 1952) 73ss; J. H. Declerck, *Deux nouveaux fragments attribués à Paul de Samosate*: Byzantion 54 (1984) 116-140.

[256] Este concilio —el primero conocido contra Pablo de Samosata— debió, pues, de celebrarse poco antes de la muerte de Dionisio de alejandría, en el mismo año 264; cf. *infra* 28,3; G. Bardy, o.c., p.283; J. A. Fischer, *Die antiochenischen Synoden gegen Paul von Samosata*: Annuarium Historiae Conciliorum 18 (1986) 9-30.

# 28

[De los obispos ilustres que eran célebres en aquel tiempo]

1 Entre ellos, los que más sobresalieron fueron: Firmiliano, obispo de Cesarea de Capadocia; los hermanos Gregorio y Atenodoro, pastores de las iglesias del Ponto; y después de ellos, Heleno, de la iglesia de Tarso, y Nicomas, de la de Iconio. Pero no sólo ellos, sino también Himeneo, de la iglesia de Jerusalén; y Teotecno, de la de Cesarea, limítrofe de ésta; y además de éstos, Máximo, que dirigía también con mucha brillantez a los hermanos de Bostra [257]. Y no sería muy difícil enumerar a muchísimos otros reunidos junto con los presbíteros y diáconos por la misma causa en la antedicha ciudad; pero de todos, por lo menos los más sobresalientes eran éstos.

2 Todos, pues, se reunieron para lo mismo, en diferentes y repetidas ocasiones [258]. Y en cada reunión se agitaban razonamientos y preguntas: los partidarios del samosatense, intentando ocultar todavía y disimular lo que hubiera de herejía; los otros, por su parte, poniendo todo su empeño en desnudar y sacar a la vista la herejía y la blasfemia de aquél contra Cristo.

3 Pero en este tiempo murió Dionisio, en el año duodécimo

## ΚΗ'

1 Τούτων οἱ μάλιστα διέπρεπον, Φιρμιλιανὸς μὲν τῆς Καππαδοκῶν Καισαρείας ἐπίσκοπος ἦν, Γρηγόριος δὲ καὶ Ἀθηνόδωρος ἀδελφοὶ τῶν κατὰ Πόντον παροικιῶν ποιμένες καὶ ἐπὶ τούτοις Ἕλενος τῆς ἐν Ταρσῷ παροικίας καὶ Νικομᾶς τῆς ἐν Ἰκονίῳ, οὐ μὴν ἀλλὰ καὶ τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας Ὑμέναιος τῆς τε ὁμόρου ταύτης Καισαρείας Θεότεκνος, Μάξιμος ἔτι πρὸς τούτοις, τῶν κατὰ Βόστραν δὲ καὶ οὗτος ἀδελφῶν διαπρεπῶς ἡγεῖτο, μυρίους τε ἄλλους οὐκ ἂν ἀπορήσαι τις ἅμα πρεσβυτέροις καὶ διακόνοις τῆς αὐτῆς ἕνεκεν αἰτίας ἐν τῇ προειρημένῃ πόλει συγκροτηθέντας ἀπαριθμούμενος, ἀλλὰ τούτων γε οἱ μάλιστα ἐπιφανεῖς οἵδε ἦσαν.

2 πάντων οὖν κατὰ καιροὺς διαφόρως καὶ πολλάκις ἐπὶ ταὐτὸν συνιόντων, λόγοι καὶ ζητήσεις καθ' ἑκάστην ἀνεκινοῦντο σύνοδον, τῶν μὲν ἀμφὶ τὸν Σαμοσατέα τὰ τῆς ἑτεροδοξίας ἐπικρύπτειν ἔτι καὶ παρακαλύπτεσθαι πειρωμένων, τῶν δὲ ἀπογυμνοῦν καὶ εἰς φανερὸν ἄγειν τὴν αἵρεσιν καὶ τὴν εἰς Χριστὸν βλασφημίαν αὐτοῦ διὰ σπουδῆς ποιουμένων.

3 ἐν τούτῳ δὲ Διονύσιος τελευτᾷ κατὰ τὸ δωδέκατον τῆς Γαλλιηνοῦ βασιλείας, προστὰς τῆς κατ' Ἀλεξάνδρειαν ἐπισκοπῆς ἔτεσιν ἑπτακαίδεκα, διαδέχεται δ' αὐτὸν Μάξιμος.

[257] Los nombres de invitados al concilio citados en este párrafo han ido apareciendo ya en capítulos anteriores. Sobre su relación con el concilio, véase G. Bardy, o.c., p.283ss; H. de Riedmatten, o.c., p.15ss; en cuanto a Máximo, J. Scherer (*Entretien d'Origène avec Héraclide:* Sources Chrét. 67 [París 1960] p.18) apunta la posibilidad de identificarlo con el que tomó parte en el diálogo en cuestión antes de ser obispo.

[258] Esta expresión parece indicar que, en Antioquía, existía una especie de concilio permanente, con sesiones más o menos intermitentes, hasta la definitiva, que terminó con la deposición de Pablo de Samosata; cf. Lawlor, p.256.

del imperio de Galieno, después de haber presidido el episcopado de Alejandría durante diecisiete años. Le sucede Máximo [259].

4 Habiendo sido Galieno dueño del poder durante quince años completos, fue instituido sucesor suyo Claudio [260]. Este, cuando terminó su segundo año, transmitió el principado a Aureliano [261].

## 29

### [De cómo se rebatió a Pablo y se le excomulgó]

1 En tiempos de éste, habiéndose reunido un último concilio [262] de numerosísimos obispos, sorprendido *in flagranti* y ya por todos condenado abiertamente por heterodoxia, el cabecilla de la herejía de Antioquía fue excomulgado de la Iglesia católica que está bajo el cielo.

2 Quien más hizo por acabar con su disimulo y dejarle convicto fue Malquión, hombre, por lo demás, elocuente y director de la clase de retórica en las escuelas griegas de Antioquía; y no sólo eso, sino también considerado digno del presbiterado de la comunidad local, por la excelentísima legitimidad de su fe en Cris-

4 Γαλλιηνοῦ δ' ἐφ' ὅλοις ἐνιαυτοῖς πεντεκαίδεκα τὴν ἀρχὴν κεκρατηκότος, Κλαύδιος κατέστη διάδοχος. δεύτερον οὗτος διελθὼν ἔτος Αὐρηλιανῷ μεταδίδωσι τὴν ἡγεμονίαν.

ΚΘ'

1 καθ' ὃν τελευταίας συγκροτηθείσης πλείστων ὅσων ἐπισκόπων συνόδου, φωραθεὶς καὶ πρὸς ἁπάντων ἤδη σαφῶς καταγνωσθεὶς ἑτεροδοξίαν ὁ τῆς κατὰ Ἀντιόχειαν αἱρέσεως ἀρχηγὸς τῆς ὑπὸ τὸν οὐρανὸν καθολικῆς ἐκκλησίας ἀποκηρύττεται.

2 μάλιστα δ' αὐτὸν εὐθύνας ἐπικρυπτόμενον διήλεγξεν Μαλχίων, ἀνὴρ τά τε ἄλλα λόγιος καὶ σοφιστοῦ τῶν ἐπ' Ἀντιοχείας Ἑλληνικῶν παιδευτηρίων διατριβῆς προεστώς, οὐ μὴν ἀλλὰ καὶ δι' ὑπερβάλλουσαν τῆς εἰς Χριστὸν πίστεως γνησιότητα πρεσβυτερίου τῆς αὐτόθι παροικίας ἠξιωμένος· οὗτός γέ τοι ἐπισημειουμένων ταχυγράφων ζήτησιν πρὸς

[259] Eusebio, *Chronic. ad annum* 265: HELM, p.221. De los datos de Eusebio resulta como fecha de la muerte de Dionisio el 264-265. Teniendo en cuenta la duración en el cargo (dato que seguramente Eusebio podía ver en la lista que manejaba), parece más probable los últimos meses del 264.

[260] Galieno cayó asesinado ante Milán, víctima de una conspiración de sus propios generales en el verano de 268 (*Chronic. ad annum* 269: HELM, p.221). Le sucede M. Aurelio Claudio II, con el cual se inicia la serie de emperadores ilirios; cf. L. Homo, *Nueva Historia de Roma* (Barcelona 1943) p.357.

[261] Efectivamente, parece que Claudio II, que había hecho de Aureliano su lugarteniente, antes de morir en Sirmio recomendó a sus generales que eligieran emperador a Aureliano, lo que se hizo, a pesar del intento de Quintilo, hermano de Claudio, por hacerse con el poder. Aureliano reinará desde 270 a 275; cf. *Chronic. ad annum* 271: HELM, p.222; L. Homo, o.c., p.359.

[262] Conforme a lo indicado *supra* 28,2, este «último concilio» debe más bien entenderse como última reunión o sesión del concilio permanente que venía durando varios años. Eusebio aquí lo sitúa en tiempos de Aureliano, quizás atendiendo a su equivocada cronología de los obispos de Roma (cf. *supra* 27,1). En la *Crónica* agrupa todo lo referente a Pablo de Samosata en torno al año 268, entre los años decimocuarto y decimosexto de Galieno (HELM, p.221). El concilio debió de concluir en otoño de 268; cf. G. Bardy, o.c., p.296-297.

to [263]. Este había emprendido contra él, con taquígrafos que la iban registrando, una investigación —que sabemos se ha conservado incluso hasta nuestros días—, por lo que él solo entre todos fue capaz de sorprender *in flagranti* a aquel hombre a pesar de su disimulo y engaño [264].

## 30 [265]

1 Entonces los pastores allí reunidos con el mismo fin escriben de común acuerdo una sola carta dirigida personalmente a Dionisio, obispo de Roma [266], y a Máximo, de la de Alejandría [267], y la transmiten a todas las provincias, poniendo en claro para todos su propio celo y la perversa heterodoxia de Pablo, así como los argumentos y preguntas que habían blandido contra él, y exponiendo además con detalle toda la vida y conducta de aquel hombre. Quizás esté bien citar en esta obra, para hacer memoria, las siguientes palabras suyas:

2 «A Dionisio, a Máximo, a todos nuestros colegas en el ministerio por todo el mundo habitado: obispos, presbíteros y diáconos, y a toda la Iglesia católica que está bajo el cielo, Heleno, Himeneo, Teófilo, Teotecno, Máximo, Proclo, Nicomas, Eliano, Pablo,

αὐτὸν ἐνστησάμενος, ἣν καὶ εἰς δεῦρο φερομένην ἴσμεν, μόνος ἴσχυσεν τῶν ἄλλων κρυψίνουν ὄντα καὶ ἀπατηλὸν φωρᾶσαι τὸν ἄνθρωπον.

## Λʹ

1 μίαν δὴ οὖν ἐκ κοινῆς γνώμης οἱ ἐπὶ ταὐτὸν συγκεκροτημένοι ποιμένες διαχαράξαντες ἐπιστολὴν εἰς πρόσωπον τοῦ τε Ῥωμαίων ἐπισκόπου Διονυσίου καὶ Μαξίμου τοῦ κατ' Ἀλεξάνδρειαν ἐπὶ πάσας διαπέμπονται τὰς ἐπαρχίας, τὴν αὐτῶν τε σπουδὴν τοῖς πᾶσιν φανερὰν καθιστάντες καὶ τοῦ Παύλου τὴν διάστροφον ἑτεροδοξίαν, ἐλέγχους τε καὶ ἐρωτήσεις ἃς πρὸς αὐτὸν ἀνακεκινήκασιν, καὶ ἔτι τὸν πάντα βίον τε καὶ τρόπον τοῦ ἀνδρὸς διηγούμενοι· ἐξ ὧν μνήμης ἕνεκεν καλῶς ἂν ἔχοι ταύτας αὐτῶν ἐπὶ τοῦ παρόντος διελθεῖν τὰς φωνάς

2 «Διονυσίῳ καὶ Μαξίμῳ καὶ τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν συλλειτουργοῖς ἡμῶν ἐπισκόποις καὶ πρεσβυτέροις καὶ διακόνοις καὶ πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν καθολικῇ ἐκκλησίᾳ Ἕλενος καὶ Ὑμέναιος καὶ Θεόφιλος καὶ Θεότεκνος καὶ Μάξιμος Πρόκλος Νικομᾶς καὶ Αἰλιανὸς καὶ Παῦλος καὶ Βωλανὸς καὶ Πρωτογένης καὶ Ἱέραξ

263 Este personaje queda bien estudiado en las obras citadas de G. Bardy (p.279ss) y de H. de Riedmatten (p.17ss).

264 Primero Malquión llevó previamente a cabo una investigación a base de preguntar a Pablo (ζήτησιν πρὸς αὐτόν), pero—y aquí está la novedad—utilizando unos taquígrafos que dejaban constancia inapelable de lo hablado; luego, en la reunión final, presentó estas pruebas, que la asamblea aceptó como definitivas para probar la culpabilidad de aquel hombre, atrapado al fin a pesar de su habilidad. Sigo en todo la interpretación de este pasaje propuesto por M. Richard, *Malchion et Paul de Samosate. Le témoignage d'Eusèbe de Césarée*: Ephemerides Theologicae Lovanienses 35 (1959) 325-338.

265 Este capítulo, como el 17, no figura en el sumario y carece de título.

266 Muerto Dionisio de Roma el 26 de diciembre de 268, lo más tarde que podía haber salido la carta de Antioquía era antes de que llegase la noticia de la muerte de su destinatario; por lo tanto, muy a comienzos de 269.

267 Cf. *supra* 28,3.

Bolano, Protógenes, Hieraco, Eutiquio, Teodoro, Malquión, Lucio [268] y todos los demás que con nosotros habitan las ciudades y poblaciones vecinas, obispos, presbíteros, diáconos y las iglesias de Dios: a los amados hermanos, salud en el Señor».

3 Poco después de esto, añade lo siguiente:

«Escribíamos a la vez y exhortábamos [269] a muchos, incluso a obispos de lejos, a venir y curar esta mortífera enseñanza, así como también a los benditos Dionisio el de Alejandría y Firmiliano de Capadocia. De éstos, el primero escribió una carta a Antioquía, no considerando al autor del error ni digno de un saludo, por lo que no le escribió a él personalmente, sino a toda la comunidad; de esta carta adjuntamos una copia [270].

4 »Firmiliano, en cambio, que incluso había venido dos veces [271], condenó ciertamente las innovaciones de aquél—como sabemos y atestiguamos los que estábamos presentes y lo saben también otros muchos—, pero como Pablo prometiera cambiar, él, creyendo y esperando que el asunto se arreglaría oportunamente sin menoscabo para la doctrina, lo fue difiriendo, engañado por el hombre que negaba a su propio Dios y Señor y no observaba la fe que anteriormente él mismo poseía [272].

5 »Mas ahora estaba ya Firmiliano a punto de pasar a Antioquía y había llegado concretamente hasta Tarso, pues había expe-

καὶ Εὐτύχιος καὶ Θεόδωρος καὶ Μαλχίων καὶ Λούκιος καὶ οἱ λοιποὶ πάντες οἱ σὺν ἡμῖν παροικοῦντες τὰς ἐγγὺς πόλεις καὶ ἔθνη ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ αἱ ἐκκλησίαι τοῦ θεοῦ ἀγαπητοῖς ἀδελφοῖς ἐν κυρίῳ χαίρειν».

3 τούτοις μετὰ βραχέα ἐπιλέγουσιν ταῦτα

«ἐπεστέλλομεν δὲ ἅμα καὶ παρεκαλοῦμεν πολλοὺς καὶ τῶν μακρὰν ἐπισκόπων ἐπὶ τὴν θεραπείαν τῆς θανατηφόρου διδασκαλίας, ὥσπερ καὶ Διονύσιον τὸν ἐπὶ τῆς Ἀλεξανδρείας καὶ Φιρμιλιανὸν τὸν ἀπὸ τῆς Καππαδοκίας, τοὺς μακαρίτας· ὧν ὁ μὲν καὶ ἐπέστειλεν εἰς τὴν Ἀντιόχειαν, τὸν ἡγεμόνα τῆς πλάνης οὐδὲ προσρήσεως ἀξιώσας οὐδὲ πρὸς πρόσωπον γράψας αὐτῷ, ἀλλὰ τῇ παροικίᾳ πάσῃ, ἧς καὶ τὸ ἀντίγραφον ὑπετάξαμεν·

4 »ὁ δὲ Φιρμιλιανός, καὶ δὶς ἀφικόμενος, κατέγνω μὲν τῶν ὑπ' ἐκείνου καινοτομουμένων, ὡς ἴσμεν καὶ μαρτυροῦμεν οἱ παραγενόμενοι καὶ ἄλλοι πολλοί συνίσασιν, ἐπαγγειλαμένου δὲ μεταθήσεσθαι, πιστεύσας καὶ ἐλπίσας ἄνευ τινὸς περὶ τὸν λόγον λοιδορίας τὸ πρᾶγμα εἰς δέον καταστήσεσθαι, ἀνεβάλετο, παρακρουσθεὶς ὑπὸ τοῦ καὶ τὸν θεὸν τὸν ἑαυτοῦ καὶ κύριον ἀρνουμένου καὶ τὴν πίστιν, ἣν καὶ αὐτὸς πρότερον εἶχεν, μὴ φυλάξαντος.

5 »ἔμελλεν δὲ καὶ νῦν ὁ Φιρμιλιανὸς εἰς τὴν Ἀντιόχειαν διαβήσεσθαι καὶ μέχρι γε Ταρσῶν ἧκεν, ἅτε τῆς ἀρνησιθέου κακίας αὐτοῦ πεῖραν εἰληφώς· ἀλλὰ γὰρ

268 En esta lista se hallan ausentes—han muerto—algunas de las grandes personalidades que iniciaron el concilio (cf. *supra* 27; 28,1), y aparecen otros nombres nuevos, algunos totalmente desconocidos; cf. H. DE RIEDMATTEN, o.c., p.128. Malquión es probablemente el presbítero citado *supra* 29,2; San Jerónimo *(De vir. ill.* 71) le atribuye la redacción de la carta. Sobre el nombre de Bolano, que sería un obispo sirio, con sede cerca de Antioquía, en Palestina o Fenicia, cf. G. BARDY, *A propos des inscriptions grecques de Volubilis:* REG 66 (1953) 111-112.

269 Estos imperfectos vienen en apoyo de la intermitencia del concilio; cf. *supra* 23,2.

270 De esta carta no se ha conservado nada.

271 Cf. *supra* 28,2.

272 Jds 3-4; cf. H. C. BRENNECKE, *Zum Process gegen Paul von Samosata. Die Frage nach der Verurteilung des Homoousios:* ZNWKAK 75 (1984) 270-290.

rimentado la maldad negadora de Dios de aquel hombre; pero en el intervalo, estando nosotros reunidos llamándole y esperando a que llegase, le alcanzó la muerte».

6 Y después de otras cosas, de nuevo describen la vida y la conducta de Pablo en los términos siguientes:

«Desde el punto en que se apartó de la regla y se pasó a enseñanzas falsas y bastardas, no se deben juzgar las acciones del que está fuera [273];

7 »ni siquiera por el hecho de que, siendo primeramente pobre mendigo y no habiendo recibido de sus padres riqueza ninguna ni habiéndola adquirido mediante un oficio o cualquier ocupación, ahora ha llegado a una opulencia excesiva proveniente de sus ilegalidades, de sus robos sacrílegos y de lo que pide y esquilma a los hermanos, defraudando a los que han sido víctimas de injusticia y prometiendo ayuda por un salario: en realidad, engañando también a éstos y sacando provecho sin razón de la facilidad con que dan los que se hallan en apuros con tal de librarse de las molestias, ya que él considera a la religión como fuente de ganancia [274];

8 »tampoco porque tiene pensamientos altivos [275] y se enorgullece de estar investido con dignidades mundanas, prefiriendo que lo llamen *ducenario* antes que obispo [276], avanzando jactancioso por la plaza y leyendo y dictando cartas a la vez que pasea en público, escoltado por guardias muy numerosos, unos precedién-

μεταξύ, συνεληλυθότων ἡμῶν καὶ καλούντων καὶ ἀναμενόντων, ἄχρι ἂν ἔλθῃ, τέλος ἔσχεν τοῦ βίου».

6 μεθ' ἕτερα δ' αὖθις τὸν βίον τοῦ αὐτοῦ οἵας ἐτύγχανεν ἀγωγῆς, διαγράφουσιν ἐν τούτοις

«ὅπου δὲ ἀποστὰς τοῦ κανόνος, ἐπὶ κίβδηλα καὶ νόθα διδάγματα μετελήλυθεν, οὐδὲν δεῖ τοῦ ἔξω ὄντος τὰς πράξεις κρίνειν,

7 »οὐδ' ὅτι πρότερον πένης ὢν καὶ πτωχὸς καὶ μήτε παρὰ πατέρων παραλαβὼν μηδεμίαν εὐπορίαν μήτε ἐκ τέχνης ἤ τινος ἐπιτηδεύματος κτησάμενος, νῦν εἰς ὑπερβάλλοντα πλοῦτον ἐλήλακεν ἐξ ἀνομιῶν καὶ ἱεροσυλιῶν καὶ ὧν αἰτεῖ καὶ σείει τοὺς ἀδελφούς, καταβραβεύων τοὺς ἀδικουμένους καὶ ὑπισχνούμενος βοηθήσειν μισθοῦ, ψευδόμενος δὲ καὶ τούτους καὶ μάτην καρπούμενος τὴν τῶν ἐν πράγμασιν ὄντων ἑτοιμότητα πρὸς τὸ διδόναι ὑπὲρ ἀπαλλαγῆς τῶν ἐνοχλούντων, πορισμὸν ἡγούμενος τὴν θεοσέβειαν·

8 »οὔτε ὡς ὑψηλὰ φρονεῖ καὶ ὑπερῆρται, κοσμικὰ ἀξιώματα ὑποδυόμενος καὶ δουκηνάριος μᾶλλον ἢ ἐπίσκοπος θέλων καλεῖσθαι καὶ σοβῶν κατὰ τὰς ἀγορὰς καὶ ἐπιστολὰς ἀναγινώσκων καὶ ὑπαγορεύων ἅμα βαδίζων δημοσίᾳ καὶ δορυφορούμενος, τῶν μὲν προπορευομένων, τῶν δ' ἐφεπομένων, πολλῶν τὸν ἀριθμόν, ὡς καὶ τὴν πίστιν φθονεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν ὄγκον αὐτοῦ καὶ τὴν ὑπερηφανίαν τῆς καρδίας·

273 Cf. 1 Cor 5,12.
274 Cf. 1 Tim 6,5.
275 Cf. Rom 12,16; 1 Tim 6,17.
276 Por lo tanto, era las dos cosas. Según el contexto, además de obispo sería *procurator ducenarius*, cargo que, además de sustanciosos emolumentos (su sueldo básico era de 200.000 sextercios), le deparaba uno de los puestos más altos de la administración civil; cf. L. HOMO, *Las instituciones políticas romanas. De la ciudad al Estado* (Barcelona 1928) p.445ss; F. W. NORRIS, *Paul of Samosata. «Procurator ducenarius»*: JTS n.s. 35 (1984) 50-70.

dole y otros siguiéndole; el resultado es que la misma fe se ve aborrecida y odiada por causa de su fasto y del orgullo de su corazón;

9 »y tampoco se deben juzgar los juegos de prestidigitación que organizaba en las reuniones eclesiásticas aspirando a la gloria, deslumbrando a la imaginación e hiriendo con estas cosas las almas de los más sencillos. Se hizo preparar para sí una tribuna y un trono elevado—no como discípulo de Cristo—, y lo mismo que los príncipes del mundo, tenía—y así lo llamaba—su *secretum* [277]; con la mano se golpeaba el muslo y con los pies pegaba en la tribuna. Y a los que no le aprobaban ni agitaban los pañuelos, como en los teatros, ni lanzaban gritos ni se alzaban de un salto a la vez que sus secuaces, hombres y mujeres que en este desorden le escuchaban, y, por lo tanto, a los que le escuchaban con gravedad y en buen orden, como en la casa de Dios, los reñía y los insultaba. Y a los intérpretes de la doctrina que partieron de esta vida los insultaba en público groseramente, mientras que de sí mismo hablaba con gran énfasis, no como un obispo, sino como un sofista y un charlatán.

10 »Hizo además que cesaran los salmos en honor de nuestro Señor Jesucristo [278], porque decía que eran modernos y obra de hombres bastante modernos; en cambio, preparó unas mujeres para que en honor suyo salmodiasen en medio de la iglesia el gran día de Pascua. ¡Para estremecerse oyéndolas! ¡Y qué cosas dejaba que tratasen en sus homilías al pueblo los obispos y presbíteros de los campos y ciudades limítrofes, sus aduladores! [279]

11 »Porque él no quiere confesar con nosotros que el Hijo de

9 »οὔτε τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς συνόδοις τερατείαν, ἣν μηχανᾶται, δοξοκοπῶν καὶ φαντασιοκοπῶν καὶ τὰς τῶν ἀκεραιοτέρων ψυχὰς τοῖς τοιούτοις ἐκπλήττων, βῆμα μὲν καὶ θρόνον ὑψηλὸν ἑαυτῷ κατασκευασάμενος, οὐχ ὡς Χριστοῦ μαθητής, σήκρητόν τε, ὥσπερ οἱ τοῦ κόσμου ἄρχοντες, ἔχων τε καὶ ὀνομάζων, παίων τε τῇ χειρὶ τὸν μηρὸν καὶ τὸ βῆμα ἀράττων τοῖς ποσὶν καὶ τοῖς μὴ ἐπαινοῦσιν μηδὲ ὥσπερ ἐν τοῖς θεάτροις κατασείουσιν ταῖς ὀθόναις μηδ' ἐκβοῶσίν τε καὶ ἀναπηδῶσιν κατὰ τὰ αὐτὰ τοῖς ἀμφ' αὐτὸν στασιώταις, ἀνδράσιν τε καὶ γυναίοις, ἀκόσμως οὕτως ὀκροωμένοις, τοῖς δ' οὖν ὡς ἐν οἴκῳ θεοῦ σεμνοπρεπῶς καὶ εὐτάκτως ἀκούουσιν ἐπιτιμῶν καὶ ἐνυβρίζων καὶ εἰς τοὺς ἀπελθόντας ἐκ τοῦ βίου τούτου παροινῶν ἐξηγητὰς τοῦ λόγου φορτικῶς ἐν τῷ κοινῷ καὶ μεγαλορημονῶν περὶ ἑαυτοῦ, καθάπερ οὐκ ἐπίσκοπος ἀλλὰ σοφιστῆς καὶ γόης·

10 »ψαλμοὺς δὲ τοὺς μὲν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παύσας ὡς δὴ νεωτέρους καὶ νεωτέρων ἀνδρῶν συγγράμματα, εἰς ἑαυτὸν δὲ ἐν μέσῃ τῇ ἐκκλησίᾳ τῇ μεγάλῃ τοῦ πάσχα ἡμέρᾳ ψαλμῳδεῖν γυναῖκας παρασκευάζων, ὧν καὶ ἀκούσας ἄν τις φρίξειεν· οἷα καὶ τοὺς θωπεύοντας αὐτὸν ἐπισκόπους τῶν ὁμόρων ἀγρῶν τε καὶ πόλεων καὶ πρεσβυτέρους ἐν ταῖς πρὸς τὸν λαὸν ὁμιλίαις καθίησιν διαλέγεσθαι·

11 »τὸν μὲν γὰρ υἱὸν τοῦ θεοῦ οὐ βούλεται συνομολογεῖν ἐξ οὐρανοῦ κατε-

277 Despacho interior del pretorio y retirado, donde los jueces dictaban sentencia.
278 Cf. *supra* V 28,5; VII 24,4.
279 A pesar del concilio, Pablo se ve que contaba con no pocos adeptos entre el clero.

Dios ha bajado del cielo (esto por exponer de antemano algo de lo que escribiremos, y que no lo diremos como simple afirmación, sino que será demostrado con muchos pasajes de los documentos que os enviamos [280], y sobre todo por aquel en que se dice que Jesucristo es de abajo); pero aquéllos, cuando le cantan salmos y le ensalzan ante el pueblo, afirman que su impío maestro ha descendido como ángel del cielo. Y él no sólo no impide esto, sino que, en su soberbia, incluso se halla presente cuando lo dicen.

12 »En cuanto a las mujeres *subintroductas*—como las llaman los antioquenos [281]—, las de él y las de los presbíteros y diáconos de su séquito, a los cuales ayuda a ocultar éste y los demás pecados incurables, ya a plena conciencia y con pruebas convincentes para tenerlos a su merced y para que, temiendo por sí mismos, no se atrevan a acusarle de las injusticias que comete de palabra y de obra —es más, incluso los hizo ricos, por lo cual le quieren y admiran los que se pierden por tales cosas...—, ¿por qué habríamos de escribir esto?

13 »Sin embargo, sabemos, queridos, que el obispo y el clero entero deben ser para la muchedumbre ejemplo [282] de toda obra buena [283], y no ignoramos tampoco cuántos han caído por haber introducido para sí mujeres, mientras otros se hicieron sospechosos, tanto que, aun concediéndole que no hacía nada indecoroso, no obstante era necesario al menos precaverse contra la sospecha que nace de un tal asunto, para no escandalizar a nadie y evitar que otros lo intenten.

ληλυθέναι (ἵνα τι προλαβόντες τῶν μελλόντων γραφήσεσθαι θῶμεν, καὶ τοῦτο οὐ λόγῳ ψιλῷ ῥηθήσεται, ἀλλ' ἐξ ὧν ἐπέμψαμεν ὑπομνημάτων δείκνυται πολλαχόθεν, οὐχ ἥκιστα δὲ ὅπου λέγει Ἰησοῦν Χριστὸν κάτωθεν), οἱ δὲ εἰς αὐτὸν ψάλλοντες καὶ ἐγκωμιάζοντες ἐν τῷ λαῷ ἄγγελον τὸν ἀσεβῆ διδάσκαλον ἑαυτῶν ἐξ οὐρανοῦ κατεληλυθέναι λέγουσιν, καὶ ταῦτα οὐ κωλύει, ἀλλὰ καὶ λεγομένοις πάρεστιν ὁ ὑπερήφανος·

12 »τὰς δὲ συνεισάκτους αὐτοῦ γυναῖκας, ὡς Ἀντιοχεῖς ὀνομάζουσιν, καὶ τῶν περὶ αὐτὸν πρεσβυτέρων καὶ διακόνων, οἷς καὶ τοῦτο καὶ τὰ ἄλλα ἁμαρτήματα ἀνίατα ὄντα συγκρύπτει, συνειδὼς καὶ ἐλέγξας, ὅπως αὐτοὺς ὑπόχρεως ἔχῃ, περὶ ὧν λόγοις καὶ ἔργοις ἀδικεῖ, μὴ τολμῶντας κατηγορεῖν τῷ καθ' ἑαυτοὺς φόβῳ, ἀλλὰ καὶ πλουσίους ἀπέφηνεν, ἐφ' ᾧ πρὸς τῶν τὰ τοιαῦτα ζηλούντων φιλεῖται καὶ θαυμάζεται — τί ἂν ταῦτα γράφοιμεν;

13 »ἐπιστάμεθα δέ, ἀγαπητοί, ὅτι τὸν ἐπίσκοπον καὶ τὸ ἱερατεῖον ἅπαν παράδειγμα εἶναι δεῖ τῷ πλήθει πάντων καλῶν ἔργων, καὶ οὐδὲ ἐκεῖνο ἀγνοοῦμεν ὅσοι ὑπὸ τοῦ συνεισάγειν ἑαυτοῖς γυναῖκας ἐξέπεσον, οἱ δ' ὑπωπτεύθησαν, ὥστ' εἰ καὶ δοίη τις αὐτῷ τὸ μηδὲν ἀσελγὲς ποιεῖν, ἀλλὰ τήν γε ὑπόνοιαν τὴν ἐκ τοῦ τοιούτου πράγματος φυομένην ἐχρῆν εὐλαβηθῆναι, μή τινα σκανδαλίσῃ, τοὺς δὲ καὶ μιμεῖσθαι προτρέψῃ.

280 Acompañaba a la carta sinodal, cf. H. DE RIEDMATTEN, o.c., p.34-48.

281 La denominación parece, pues, obra de los antioquenos. Los textos relativos a esta clase de mujeres se encontrarán en H. ACHELIS, *Virgines subintroductae. Ein Beitrag zu I Kor. VII* (Leipzig 1902); cf. HEFELE-LECLERCQ, *Histoire des Conciles*, t.1 (París 1907) p.201-202.

282 Cf. 1 Tim 4,12; Tit 2,7.

283 Cf. 2 Tim 2,21; 3,17.

14 »Porque ¿cómo podría reprender y advertir a otro de que no cohabite ya más bajo el mismo techo con una mujer y se guarde de caer, como está escrito [284], uno que alejó de sí a una ya, pero que tiene consigo dos en plena juventud y de buen ver, y que, si marcha a otra parte, allá las lleva consigo, y esto con derroche de lujo?

15 »Por causa de esto lloran todos y se lamentan dentro de sí mismos, pero es tanto el temor a la tiranía y poder de aquél que nadie se atreve a una acusación.

16 »Pero, como ya hemos dicho, de esto se podría corregir a un hombre que tuviese al menos un pensamiento católico y se contase entre nosotros, pero a uno que traicionó el misterio [285] y se pavonea de la abominable herejía de Artemas [286] (¿por qué, efectivamente, no iba a ser necesario manifestar quién es su padre?) creemos que no hay que pedirle cuentas de todo esto».

17 Luego, al final de la carta, añaden:

«Por consiguiente, al seguir oponiéndose a Dios y no ceder, nos hemos visto forzados a excomulgarlo y a establecer en su lugar para la Iglesia católica—según providencia de Dios, estamos convencidos—otro obispo, Domno, el hijo del bienaventurado Demetriano—éste había presidido antes que aquél, con gran notabilidad, esa misma iglesia—, varón adornado con todas las cualidades que convienen a un obispo [287]. Y os lo hemos manifestado para que le escribáis y recibáis de él las cartas de comunión [288]. En cuanto al

**14** »πῶς γὰρ ἂν ἐπιπλήξειεν ἢ νουθετήσειεν ἕτερον μὴ συγκαταβαίνειν ἐπὶ πλέον εἰς ταὐτὸν γυναικί, μὴ ὀλίσθῃ, φυλαττόμενον, ὡς γέγραπται, ὅστις μίαν μὲν ἀπέστησεν ἤδη, δύο δὲ ἀκμαζούσας καὶ εὐπρεπεῖς τὴν ὄψιν ἔχει μεθ᾽ ἑαυτοῦ, κἂν ἀπίῃ που, συμπεριφέρει, καὶ ταῦτα τρυφῶν καὶ ὑπερεμπιμπλάμενος;

**15** »ὧν ἕνεκα στενάζουσι μὲν καὶ ὀδύρονται πάντες καθ᾽ ἑαυτούς, οὕτω δὲ τὴν τυραννίδα καὶ δυναστείαν αὐτοῦ πεφόβηνται, ὥστε κατηγορεῖν μὴ τολμᾶν.

**16** »ἀλλὰ ταῦτα μέν, ὡς προειρήκαμεν, εὔθυνεν ἄν τις ἄνδρα τὸ γοῦν φρόνημα καθολικὸν ἔχοντα καὶ συγκαταριθμούμενον ἡμῖν, τὸν δ᾽ ἐξορχησάμενον τὸ μυστήριον καὶ ἐμπομπεύσαντα τῇ μιαρᾷ αἱρέσει τῇ Ἀρτεμᾶ (τί γὰρ οὐ χρὴ μόλις τὸν πατέρα αὐτοῦ δηλῶσαι;) οὐδὲν δεῖν ἡγούμεθα τούτων τοὺς λογισμοὺς ἀπαιτεῖν».

**17** εἶτ᾽ ἐπὶ τέλει τῆς ἐπιστολῆς ταῦτ᾽ ἐπιλέγουσιν

«ἠναγκάσθημεν οὖν ἀντιτασσόμενον αὐτὸν τῷ θεῷ καὶ μὴ εἴκοντα ἐκκηρύξαντες, ἕτερον ἀντ᾽ αὐτοῦ τῇ καθολικῇ ἐκκλησίᾳ καταστῆσαι ἐπίσκοπον, θεοῦ προνοίᾳ ὡς πεπείσμεθα, τὸν τοῦ μακαρίου Δημητριανοῦ καὶ ἐπιφανῶς προστάντος πρὸ τούτου τῆς αὐτῆς παροικίας υἱὸν Δόμνον, ἅπασιν τοῖς πρέπουσιν ἐπισκόπῳ καλοῖς κεκοσμημένον, ἐδηλώσαμέν τε ὑμῖν, ὅπως τούτῳ γράφητε καὶ παρὰ τούτου τὰ κοινωνικὰ

[284] Cf. 1 Cor 10,12; Eclo 9,8-9.
[285] Cf. 1 Tim 3,16.
[286] Eusebio le llama Artemón; cf. *supra* V 28. Sobre el retrato de Pablo aquí descrito, cf. J. BURKE, *Eusebius on Paul of Samosata: A new image:* Kleronomía 7 (1975) 8-21; V. BURRUS, *Rhetorical stereotypes in the portrait of Paul de Samosata:* VigCh. 43 (1989) 215-225.
[287] EUSEBIO, *Chronic. ad annum* 268: HELM, p.221. No obstante, para tomar posesión de su obispado, Domno tuvo que esperar a que los romanos reconquistasen Antioquía, a finales de 271 o comienzos de 272.
[288] Con esta clase de cartas se anunciaba a los demás obispos la consagración del nuevo pastor de una iglesia, como expresión de la unidad y comunión del episcopado.

otro, que escriba a Artemas y que tengan comunión con él los que piensen como Artemas»[289].

18 Así, pues, caído Pablo del episcopado y de la ortodoxia de su fe, le sucedió Domno, como se dice, en el ministerio de la iglesia de Antioquía.

19 Sin embargo, como Pablo no quisiera en modo alguno salir del edificio de la iglesia[290], el emperador Aureliano, de quien se solicitó, decidió muy oportunamente sobre lo que había de hacerse, pues ordenó que la casa se otorgase a aquellos con quienes estuvieran en correspondencia epistolar los obispos de la doctrina de Italia y de la ciudad de Roma. Así es que el hombre antes mencionado, con extrema vergüenza suya, fue expulsado de la iglesia por el poder mundano[291].

20 Así era para con nosotros Aureliano, al menos por aquel entonces. Pero, ya avanzado su imperio, cambió de pensar sobre nosotros y se dejaba excitar por ciertos consejos de que suscitara una persecución contra nosotros. Eran muchos los rumores sobre este punto en todos los ambientes.

δέχησθε γράμματα· τῷ δὲ Ἀρτεμᾷ οὗτος ἐπιστελλέτω καὶ οἱ τὰ Ἀρτεμᾶ φρονοῦντες τούτῳ κοινωνείτωσαν».

**18** τοῦ δὴ οὖν Παύλου σὺν καὶ τῇ τῆς πίστεως ὀρθοδοξίᾳ τῆς ἐπισκοπῆς ἀποπεπτωκότος, Δόμνος, ὡς εἴρηται, τὴν λειτουργίαν τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας διεδέξατο·

**19** ἀλλὰ γὰρ μηδαμῶς ἐκστῆναι τοῦ Παύλου τοῦ τῆς ἐκκλησίας οἴκου θέλοντος, βασιλεὺς ἐντευχθεὶς Αὐρηλιανὸς αἰσιώτατα περὶ τοῦ πρακτέου διείληφεν, τούτοις νεῖμαι προστάττων τὸν οἶκον, οἷς ἂν οἱ κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥωμαίων πόλιν ἐπίσκοποι τοῦ δόγματος ἐπιστέλλοιεν. οὕτω δῆτα ὁ προδηλωθεὶς ἀνὴρ μετὰ τῆς ἐσχάτης αἰσχύνης ὑπὸ τῆς κοσμικῆς ἀρχῆς ἐξελαύνεται τῆς ἐκκλησίας.

**20** τοιοῦτος μέν γέ τις ἦν τὸ τηνικάδε περὶ ἡμᾶς ὁ Αὐρηλιανός, προϊούσης δ' αὐτῷ τῆς ἀρχῆς ἀλλοῖόν τι περὶ ἡμῶν φρονήσας, ἤδη τισὶν βουλαῖς, ὡς ἂν διωγμὸν καθ' ἡμῶν ἐγείρειεν, ἀνεκινεῖτο, πολύς τε ἦν ὁ παρὰ πᾶσιν περὶ τούτου λόγος·

289 ¿Quiere esto decir que Artemas o Artemón vivía todavía? No es fácil determinarlo; de todos modos, su herejía databa de sesenta años por lo menos; cf. *supra* V 28.

290 Literalmente, «la casa de la Iglesia» o «la casa de la Asamblea» es una expresión que en HE designa el edificio eclesial, el templo, y que otras veces Eusebio sustituye por «iglesia/s», sin más; cf. *infra* 22; VIII 2,4; 13,13,17,1.9; IX 9a,11; 10.10; VC 3,43,3. Traduciremos «edificio/s de las iglesias» o «iglesias». Cf. R. L. P. MILBURN, ὁ τῆς ἐκκλησιας οἶκος: JTS 46 (1945) 65-68; V. SAXER, *Domus ecclesiae* - οἶκος τῆς ἐκκλησιας *in den frühchristlichen litterarischen Texten*: Römische Quartalschrift für christliche Altertumswissenschaft und Kirchengeschichte 83 (1988) 167-179. R. AGUIRRE, *La casa como estructura base del cristianismo primitivo. Las iglesias domésticas*: EE 59 (1984) 27-51.

291 Aureliano actúa en la línea del edicto de Galieno; cf. *supra* 13, sin que ello signifique favor especial a los cristianos por su parte; habiendo tenido lugar en 272, el hecho indica solamente que por esas fechas aquel edicto seguía vigente. Lo interesante es la relación que, para dirimir el pleito, establece entre Antioquía y los obispos de Italia; cf. G. BARDY, *Paul de Samosate* (Lovaina ²1929) p.358-63. Véase también F. MILLAR, *Paul of Samosata, Zenobia and Aurelian. The church, local culture and political allegiance inthird-century Syria*: The Journal of Roman Studies 61 (1971) 1-17.

292 Según Lactancio *(De mort. pers.* 6,2), los habría firmado, pero murió antes de que llegasen a las provincias más apartadas. Siguiendo a Lactancio, San Agustín *(De civ. Dei* 18,52) y Pablo Orosio *(Hist.* 7,23) le atribuirán la que llaman «novena persecución», que en realidad no llegó a darse. Eusebio se acerca más a la realidad histórica; cf. también *Chronic. ad annum* 275: HELM, p.223.

21 Mas, cuando estaba a punto de hacerlo y por así decirlo firmaba ya los decretos contra nosotros [292], le alcanzó la justicia divina [293], que le retuvo de la empresa casi como atándole por los brazos. Con ello permitía a todos ver claramente que nunca los poderes de esta vida tendrían facilidad contra las iglesias de Cristo si la mano que nos protege, por juicio divino y celeste, para instrucción y conversión nuestra, no permitiese [294] que esto se llevara a cabo en los tiempos que ella juzga buenos.

22 Así, pues, a Aureliano, que ejerció el poder durante seis años, le sucede Probo [295], y a éste, que lo retuvo más o menos los mismos años, Caro, junto con sus hijos Carino y Numeriano [296]. Y habiendo durado éstos, a su vez, otros tres años no completos, el poder absoluto pasa a Diocleciano [297] y a los que se introdujo después de él por adopción, bajo los cuales se llevó a cabo la persecución de nuestro tiempo y en ella la destrucción de las iglesias.

23 Ahora bien, muy poco tiempo antes de esto, Félix sucede en el ministerio al obispo de Roma Dionisio, que había pasado en él nueve años [298].

**21** μέλλοντα δὲ ἤδη καὶ σχεδὸν εἰπεῖν τοῖς καθ' ἡμῶν γράμμασιν ὑποσημειούμενον θεία μέτεισιν δίκη, μόνον οὐχὶ ἐξ ἀγκώνων τῆς ἐγχειρήσεως ἀποδεσμοῦσα λαμπρῶς τε τοῖς πᾶσιν συνορᾶν παριστῶσα ὡς οὔποτε γένοιτ' ἂν ῥᾳστώνη τοῖς τοῦ βίου ἄρχουσιν κατὰ τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν, μὴ οὐχὶ τῆς ὑπερμάχου χειρὸς θείᾳ καὶ οὐρανίῳ κρίσει παιδείας ἕνεκα καὶ ἐπιστροφῆς, καθ' οὓς ἂν αὐτὴ δοκιμάζοι καιρούς, τοῦτ' ἐπιτελεῖσθαι συγχωρούσης.

**22** ἔτεσι γοῦν ἓξ κρατήσαντα τὸν Αὐρηλιανὸν διαδέχεται Πρόβος, καὶ τοῦτον δὲ που τοῖς ἴσοις ἐπικατασχόντα Κάρος ἅμα παισὶν Καρίνῳ καὶ Νουμεριανῷ, πάλιν τ' αὖ καὶ τούτων οὐδ' ὅλοις τρισὶν ἐνιαυτοῖς διαγενομένων, μέτεισιν τὰ τῆς ἡγεμονίας Διοκλητιανὸν καὶ τοὺς μετ' αὐτὸν εἰσποιηθέντας, ἐφ' ὧν ὁ καθ' ἡμᾶς συντελεῖται διωγμὸς καὶ ἡ κατ' αὐτὸν τῶν ἐκκλησιῶν καθαίρεσις.

**23** ἀλλὰ γὰρ μικρῷ τούτου πρότερον τὸν ἐπὶ Ῥώμης ἐπίσκοπον Διονύσιον ἔτεσιν ἐννέα διελθόντα τὴν λειτουργίαν διαδέχεται Φῆλιξ.

293 Se refiere a su asesinato; cf. *infra* § 22. Vuelve a aflorar el tema del castigo divino de los perseguidores, tema central del libro de Lactancio y que seguiremos encontrando.

294 Cf. Jn 19,11.

295 Eusebio incluye aquí el año del imperio sucesivo de los hermanos Tácito y Florino, que precedieron a Probo; en *Chronic. ad annum* 276: HELM, p.223 los menciona expresamente. Aureliano cayó asesinado entre Perinto y Bizancio, a finales de agosto de 275; cf. L. Homo, *Nueva Historia de Roma* p.362.

296 Marco Aurelio Probo reinó del año 276 al 282, en que fue asesinado por sus soldados cerca de Sirmio, sucediéndole M. Aurelio Caro, prefecto del pretorio, que, muerto al año siguiente en circunstancias misteriosas, fue sustituido por sus dos hijos Carino y Numeriano (283-285); cf. L. Homo, o.c., p.362-63.

297 Aunque no quedó con el poder absoluto hasta que murió Carino (comienzos de 285), C. Valerio Diocleciano se consideró emperador desde su proclamación por los soldados, tras la muerte de Numeriano. La proclamación tuvo lugar el 17 ó 19 de septiembre, según la mayoría de los autores; cf. W. Seston, *Dioclétien et la Tétrarchie* (París 1946); Id., *L'amnistie des vicennalia de Dioclétien d'après P. Oxy.* 2187, en *Chronique d'Égypte* (1947) p.333-337; A. d'Accini, *La data della salita al trono de Diocleziano*: Rivista di Filologia Classica 26 (1948) 244-256, que está por el 17 de noviembre de 284; F. Kolb, *Diocletian und die Erste Tetrarchie. Improvisation oder Experiment in der Organisation monarchischer Herrschaft?* = Untersuch. z. antiken Literat. u. Geschichte, 27 (Berlin 1987).

298 Esto supone que Dionisio de Roma habría muerto el año 275 (¡aun así faltaban todavía muchos años para la gran persecución, contra lo que se dice al comienzo del párrafo!), pero, en realidad, murió el 26 de diciembre de 268 (cf. *supra* 30,1), por lo que Félix comenzó su pontificado a fines de ese año o comienzos del 269; pero nunca en la fecha que le asigna Eusebio; cf. *Chronic. ad annum* 278: HELM, p.223. Una imprecisión parecida, *supra* VI 6,2.

# 31

5 »καὶ ἦν ἡ θέα τῶν αἰκισμῶν ἐνηλλαγμένη καὶ πολλὴν τὴν ἐν αὐτῇ κακίαν ἔχουσα. οἱ μὲν γὰρ ὀπίσω τὼ χεῖρε δεθέντες περὶ τὸ ξύλον ἐξηρτῶντο καί μαγγάνοις τισὶ διετείνοντο πᾶν μέλος, εἶθ' οὕτως διὰ παντὸς τοῦ σώματος ἐπῆγον ἐκ κελεύσεως οἱ βασανισταί, οὐ καθάπερ τοῖς φονεῦσιν ἐπὶ τῶν πλευρῶν μόνον, ἀλλὰ καὶ τῆς γαστρὸς καὶ κνημῶν καὶ παρειῶν τοῖς ἀμυντηρίοις ἐκόλαζον· ἕτεροι δὲ ἀπὸ τῆς στοᾶς μιᾶς χειρὸς ἐξηρτημένοι αἰωροῦντο, πάσης ἀλγηδόνος δεινοτέραν τὴν ἀπὸ τῶν ἄρθρων καὶ μελῶν τάσιν ἔχοντες· ἄλλοι δὲ πρὸς τοῖς κίοσιν ἀντιπρόσωποι ἐδοῦντο, οὐ βεβηκόσιν τοῖς ποσίν, τῷ δὲ βάρει τοῦ σώματος βιαζομένων μετὰ τάσεως ἀνελκομένων τῶν δεσμῶν.

6 »καὶ τοῦθ' ὑπέμενον, οὐκ ἐφ' ὅσον προσδιελέγετο οὐδ' αὐτοῖς ἐσχόλαζεν ὁ ἡγεμών, ἀλλὰ μόνον οὐχὶ δι' ὅλης τῆς ἡμέρας. ὅτε γὰρ καὶ ἐφ' ἑτέρους μετέβαινεν, τοῖς προτέροις κατελίμπανεν ἐφεδρεύειν τοὺς τῇ ἐξουσίᾳ αὐτοῦ ὑπηρετουμένους, εἴ πού τις ἡττηθεὶς τῶν βασάνων ἐνδιδόναι ἐδόκει, ἀφειδῶς δὲ κελεύων καὶ τοῖς δεσμοῖς προσιέναι καὶ μετὰ ταῦτα ψυχορραγοῦντας αὐτοὺς κατατιθεμένους εἰς τὴν γῆν ἕλκεσθαι·

7 »οὐ γὰρ εἶναι κἂν μέρος φροντίδος αὐτοῖς περὶ ἡμῶν, ἀλλ' οὕτω καὶ διανοεῖσθαι καὶ πράττειν, ὡς μηκέτ' ὄντων,

[78] El texto no da más de sí, además de resultar francamente sin sentido.
[79] Según las *Actas* del proceso (cf. *supra* 9,7), se llamaba Culciano; cf. también *infra* IX 11,4.
[80] El texto no da para más. Schwartz supone que Fileas escribió algo así como καὶ τοῖς ⟨μάστιξι καὶ τοῖς⟩ δεσμοῖς προστιθῆναι.

tormento que, sobre el de los golpes, inventaron nuestros adversarios.

8 »Los había que incluso después de los tormentos yacían sobre el cepo con los pies distendidos hasta el cuarto agujero, de suerte que hasta por fuerza tenían que estar boca arriba sobre el cepo, impotentes, por tener recientes las heridas de los golpes por todo el cuerpo. Otros yacían tirados en el suelo por efecto de los tormentos aplicados a la vez, y ofrecían a los mirones un espectáculo más cruel que al ser atormentados, pues llevaban en sus cuerpos las marcas de las múltiples y diversas torturas inventadas.

9 »Así las cosas, unos morían en medio de los tormentos, avergonzando con su constancia al adversario; otros, encerrados medio muertos en la cárcel, fallecían al cabo de pocos días oprimidos por los dolores; y los demás, lograda la recuperación de sus fuerzas a base de cuidados [81], con el tiempo y la estancia en la cárcel se hicieron todavía más animosos.

10 »Así, pues, cuando les fue intimado el escoger [82]: o bien tocar el sacrificio abominable y no ser molestados, logrando de ellos la libertad maldita, o bien no sacrificar y recibir condena de muerte, ellos, sin vacilar lo más mínimo, marcharon alegremente a la muerte, pues sabían lo que las Sagradas Escrituras nos prescriben: *El que ofrezca,* dice, *sacrificios a otros dioses será exterminado* [83]; *y no tendrás otros dioses que a mí»* [84].

11 Tales son las palabras que el mártir, como verdadero filó-

ταύτην δευτέραν βάσανον ἐπὶ ταῖς πληγαῖς τῶν ὑπεναντίων ἐφευρόντων.

**8** »ἦσαν δὲ οἱ καὶ μετὰ τοὺς αἰκισμοὺς ἐπὶ τοῦ ξύλου κείμενοι, διὰ τῶν τεσσάρων ὀπῶν διατεταμένοι ἄμφω τὼ πόδε, ὡς καὶ κατὰ ἀνάγκην αὐτοὺς ἐπὶ τοῦ ξύλου ὑπτίους εἶναι, μὴ δυναμένους διὰ τὸ ἔναυλα τὰ τραύματα ἀπὸ τῶν πληγῶν καθ' ὅλου τοῦ σώματος ἔχειν· ἕτεροι δὲ εἰς τοὔδαφος ῥιφέντες ἔκειντο ὑπὸ τῆς τῶν βασάνων ἀθρόας προσβολῆς, δεινοτέραν τὴν ὄψιν τῆς ἐνεργείας τοῖς ὁρῶσιν παρέχοντες, ποικίλας καὶ διαφόρους ἐν τοῖς σώμασιν φέροντες τῶν βασάνων τὰς ἐπινοίας.

**9** »τούτων οὕτως ἐχόντων οἱ μὲν ἐναπέθνῃσκον ταῖς βασάνοις, τῇ καρτερίᾳ καταισχύναντες τὸν ἀντίπαλον, οἱ δὲ ἡμιθνῆτες ἐν τῷ δεσμωτηρίῳ συγκλειόμενοι, μετ' οὐ πολλὰς ἡμέρας ταῖς ἀλγηδόσι συνεχόμενοι ἐτελειοῦντο, οἱ δὲ λοιποὶ τῆς ἀπὸ τῆς θεραπείας ἀνακτήσεως τυχόντες τῷ χρόνῳ καὶ τῇ τῆς φυλακῆς διατριβῇ θαρσαλεώτεροι ἐγίνοντο.

**10** »οὕτω γοῦν, ἡνίκα προσετέτακτο αἱρέσεως κειμένης ἢ ἐφαψάμενον τῆς ἐναγοῦς θυσίας ἀνενόχλητον εἶναι, τῆς ἐπαράτου ἐλευθερίας παρ' αὐτῶν τυχόντα, ἢ μὴ θύοντα τὴν ἐπὶ θανάτῳ δίκην ἐκδέχεσθαι, οὐδὲν μελλήσαντες ἀσμένως ἐπὶ τὸν θάνατον ἐχώρουν· ᾔδεσαν γὰρ τὰ ὑπὸ τῶν ἱερῶν γραφῶν ἡμῖν προορισθέντα. ὁ γὰρ θυσιάζων, φησίν, θεοῖς ἑτέροις ἐξολοθρευθήσεται, καὶ ὅτι οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ».

**11** τοιαῦται τοῦ ὡς ἀληθῶς φιλοσό-

[81] Cuidados procurados por los mismos perseguidores, ya que «nihil aliud devitant quam ne torti moriantur» (Lactancio, *Divin. Instit.* 5,11).
[82] Esto supone ya promulgado el cuarto edicto.
[83] Ex 22,20; esta misma cita la hallamos en *Martyr. Phil.* 1: D. Ruiz Bueno, o.c., p. 1149.
[84] Ex 20,3.

sofo y amigo de Dios, hallándose todavía en la cárcel antes de su última sentencia, escribió a los hermanos de su iglesia, confiándoles la situación en que se encontraba y, a la vez, exhortándoles a mantenerse firmemente asidos a la religión de Cristo aun después de su inminente consumación.

12 Mas ¿qué necesidad hay de extenderse prolijamente y de añadir a combates recientes otros combates aún más recientes, sostenidos por los santos mártires en toda la tierra, sobre todo por aquellos que ya no eran atacados con arreglo a una ley común, sino con todo el aparato de una guerra?

## 11

### [De los mártires de Frigia]

1 Es el caso, pues, que ya por entonces, en Frigia, toda una pequeña ciudad de cristianos fue cercada con todos sus hombres por soldados que le prendieron fuego y abrasaron a todos, incluidos niños y mujeres, que invocaban a gritos al Dios del universo. La razón fue que todos los habitantes de la ciudad en masa, incluidos el mismo inspector imperial de cuentas[85], los duunviros y todos los magistrados con el pueblo entero, se habían confesado cristianos y no obedecían en lo más mínimo a los que les ordenaban adorar a los ídolos[86].

2 Y hubo otro, llamado Adaucto, en posesión de una dignidad romana y procedente de un linaje ilustre de Italia, que había

φου τε ὁμοῦ καὶ φιλοθέου μάρτυρος αἱ φωναὶ ἃς πρὸ τελευταίας ἀποφάσεως, ὑπὸ τὴν δεσμωτικὴν ἔθ' ὑπάρχων τάξιν, τοῖς κατὰ τὴν αὐτοῦ παροικίαν ἀδελφοῖς ἐπεστάλκει ἅμα μὲν τὰ ἐν οἷς ἦν, ἀνατιθέμενος, ἅμα δὲ καὶ παρορμῶν αὐτοὺς ἐπὶ τὸ ἀπρὶξ ἔχεσθαι καὶ μετ' αὐτὸν ὅσον οὔπω τελειωθησόμενον τῆς ἐν Χριστῷ θεοσεβείας.

**12** ἀλλὰ τί χρὴ πολλὰ λέγειν καὶ καινοτέρας ἐπὶ καινοτέραις τῶν ἀνὰ τὴν οἰκουμένην θεοπρεπῶν μαρτύρων ἀθλήσεις παρατίθεσθαι, μάλιστα τῶν οὐκέτι μὲν κοινῷ νόμῳ, πολέμου δὲ τρόπῳ πεπολιορκημένων;

IA'

**1** Ἤδη γοῦν ὅλην χριστιανῶν πολίχνην αὔτανδρον ἀμφὶ τὴν Φρυγίαν ἐν κύκλῳ περιβαλόντες ὁπλῖται πῦρ τε ὑφάψαντες κατέφλεξαν αὐτοῖς ἅμα νηπίοις καὶ γυναιξὶ τὸν ἐπὶ πάντων θεὸν μαρτυρομένοις, ὅτι δὴ πανδημεὶ πάντες οἱ τὴν πόλιν οἰκοῦντες λογιστής τε αὐτὸς καὶ στρατηγοὶ σὺν τοῖς ἐν τέλει πᾶσιν καὶ ὅλῳ δήμῳ χριστιανοὺς σφᾶς ὁμολογοῦντες, οὐδ' ὁπωστιοῦν τοῖς προστάττουσιν εἰδωλολατρεῖν ἐπειθάρχουν.

**2** καί τις ἕτερος Ῥωμαϊκῆς ἀξίας ἐπειλημμένος, Ἄδαυκτος τοὔνομα, γένος τῶν παρ' Ἰταλοῖς ἐπισήμων, διὰ πάσης προελ-

[85] «Curator rei publicae».

[86] Sin duda es a este episodio al que se refiere Lactancio *(Divin. Instit.* 5,11,10). W. M. Ramsay *(The Cities and Bishoprics of Phrigia* [Oxford 1897] p.502-508) cree que se trata de Eumenia, patria de insignes mártires, como hemos visto *supra* V 16,22; 18,14; 24,4.

avanzado por todos los grados del honor ante los emperadores, hasta el punto de haber pasado irreprochablemente a los puestos de la administración general, en lo que ellos llaman oficio de director superior y de intendente general[87]. Habiéndose distinguido además de en todo esto por sus obras virtuosas en la religión y por sus repetidas confesiones del Cristo de Dios, soportó el combate por la religión en el ejercicio mismo de su cargo de intendente general y fue coronado con la diadema del martirio.

## 12

[De otros muchísimos, hombres y mujeres, que combatieron de diversas maneras]

1 ¿Qué necesidad tengo yo ahora de recordar por sus nombres a los demás, de contar la muchedumbre de los hombres[88] o de pintar los variados tormentos de los admirables mártires? A unos los mataron a hachazos, como ocurrió con los de Arabia; a otros les quemaron las piernas, como sucedió a los de Capadocia; a veces los colgaban de lo alto por los dos pies, cabeza abajo, y encendían debajo un fuego lento, cuyo humo los asfixiaba al arder la leña, como en el caso de los de Mesopotamia; y a veces les cortaban la nariz, las orejas y las manos[89] y partían en trozos los restantes miembros y partes de sus cuerpos, como aconteció en Alejandría.

θῶν ἀνὴρ τῆς παρὰ βασιλεῦσι τιμῆς, ὡς καὶ τὰς καθόλου διοικήσεις τῆς παρ' αὐτοῖς καλουμένης μαγιστρότητός τε καὶ καθολικότητος ἀμέμπτως διελθεῖν, ἐπὶ πᾶσι τούτοις διαπρέψας τοῖς ἐν θεοσεβείᾳ κατορθώμασιν καὶ ταῖς εἰς τὸν Χριστὸν τοῦ θεοῦ ὁμολογίαις, τῷ τοῦ μαρτυρίου διαδήματι κατεκοσμήθη, ἐπ' αὐτῆς τῆς τοῦ καθολικοῦ πράξεως τὸν ὑπὲρ εὐσεβείας ὑπομείνας ἀγῶνα.

## IB'

1 Τί με χρὴ νῦν ἐπ' ὀνόματος τῶν λοιπῶν μνημονεύειν ἢ τὸ πλῆθος τῶν ἀνδρῶν ἀριθμεῖν ἢ τὰς πολυτρόπους αἰκίας ἀναζωγραφεῖν τῶν θαυμασίων μαρτύρων, τοτὲ μὲν πέλυξιν ἀναιρουμένων, οἷα γέγονεν τοῖς ἐπ' Ἀραβίας, τοτὲ δὲ τὰ σκέλη κατεαγνυμένων, οἷα τοῖς ἐν Καππαδοκίᾳ συμβέβηκεν, καὶ ποτὲ μὲν κατὰ κεφαλῆς ἐκ τοῖν ποδοῖν εἰς ὕψος ἀναρτωμένων καὶ μαλθακοῦ πυρὸς ὑποκαιομένου τῷ παραπεμπομένῳ καπνῷ τῆς φλεγομένης ὕλης ἀποπνιγομένων, οἷα τοῖς ἐν Μέσῃ τῶν ποταμῶν ἐπήχθη, ποτὲ δὲ ῥῖνας καὶ ὦτα καὶ χεῖρας ἀκρωτηριαζομένων τά τε λοιπὰ τοῦ σώματος μέλη τε καὶ μέρη κρεουργουμένων, οἷα τὰ ἐπ' Ἀλεξανδρείας ἦν;

87 Entre los cargos y funciones civiles del orden ecuestre, los que Eusebio parece querer designar aquí son los de «magister summarum rationum» (director general de la hacienda privada) y «rationalis» (interventor o intendente general de las finanzas).

88 Cf. L. Hertling, *Die Zahl der Märtyrer bis 313*: Gregorianum 25 (1944) 103-129; E. de Moreau, *Le nombre des martyrs des persécutions romaines*: Nouvelle Revue Théologique 73 (1951) 812-832.

89 Los mismos suplicios refiere Lactancio (*De mort. pers.* 36,7).

2 ¿Para qué reavivar el recuerdo de los de Antioquía, de los que eran asados en braseros, no para hacerles morir, sino para alargar su tormento; y de los que preferían meter su mano derecha en el fuego antes que tocar el sacrificio maldito? [90] Algunos de ellos, por huir de la prueba, antes de ser aprehendidos y de caer en manos de los conspiradores, ellos mismos se arrojaban de lo alto de sus casas, considerando el morir como un sustraerse a la maldad de los impíos [91].

3 Y cierta persona, santa y admirable por la virtud de su alma, aunque mujer por su cuerpo, y famosa, además, entre todas las de Antioquía, por su riqueza, su linaje y su buen nombre, había criado a sus hijas en las leyes de la religión, una pareja de vírgenes notables por la belleza de su cuerpo y en plena juventud. Movióse contra ellas mucha envidia que por todos los medios se esforzaba en descubrir su escondite. Al enterarse luego de que se hallaban en tierra extraña, se las arregló astutamente para llamarlas a Antioquía, y así cayeron en las redes de los soldados. Viéndose a sí misma y a sus hijas en tal apuro, la madre les habló y les expuso los horrores que les vendrían de los hombres, incluido el más terrible e insoportable de todos, la amenaza de violación [92], exhortándose a sí misma y exhortando a las hijas a no tolerar ni siquiera el que se llegase a rozar sus oídos. Les decía también que el entregar sus almas a la esclavitud de los demonios era peor que todas las muertes y que toda ruina, y les sugería que la única solución de todo esto era la fuga hacia el Señor.

2 τί δεῖ τῶν ἐπ' Ἀντιοχείας ἀναζωπυρεῖν τὴν μνήμην, ἐσχάραις πυρὸς οὐκ εἰς θάνατον, ἀλλ' ἐπὶ μακρᾷ τιμωρίᾳ κατοπτωμένων, ἑτέρων τε θᾶττον τὴν δεξιὰν αὐτῷ πυρὶ καθιέντων ἢ τῆς ἐναγοῦς θυσίας ἐφαπτομένων; ὧν τινες τὴν πεῖραν φεύγοντες, πρὶν ἁλῶναι καὶ εἰς χεῖρας τῶν ἐπιβούλων ἐλθεῖν, ἄνωθεν ἐξ ὑψηλῶν δωμάτων ἑαυτοὺς κατεκρήμνισαν, τὸν θάνατον ἅρπαγμα θέμενοι τῆς τῶν δυσσεβῶν μοχθηρίας.

3 καί τις ἱερὰ καὶ θαυμασία τὴν τῆς ψυχῆς ἀρετήν, τὸ δὲ σῶμα γυνὴ καὶ τὰ ἄλλα τῶν ἐπ' Ἀντιοχείας πλούτῳ καὶ γένει καὶ εὐδοξίᾳ παρὰ πᾶσι βεβοημένη, παῖδων ξυνωρίδα παρθένων τῇ τοῦ σώματος ὥρᾳ καὶ ἀκμῇ διαπρεπουσῶν θεσμοῖς εὐσεβείας ἀναθρεψαμένη, ἐπειδὴ πολὺς ὁ περὶ αὐτὰς κινούμενος φθόνος πάντα τρόπον ἀνιχνεύων λανθανούσας περιειργάζετο, εἶτ' ἐπ' ἀλλοδαπῆς αὐτὰς διατρίβειν μαθὼν πεφροντισμένως ἐπὶ τὴν Ἀντιόχειαν ἐκάλει δικτύων τε ἤδη στρατιωτικῶν εἴσω περιβέβληντο, ἐκ ἀμηχάνοις ἑαυτὴν καὶ τὰς παῖδας θεασαμένη καὶ τὰ μέλλοντα ἐξ ἀνθρώπων δεινὰ τῷ λόγῳ παραθεῖσα τό τε πάντων δεινῶν καὶ ἀφορητότερον, πορνείας ἀπειλήν, μηδὲ ἄκροις ὠσὶν ὑπομεῖναι δεῖν ἀκοῦσαι ἑαυτῇ τε καὶ ταῖς κόραις παρακελευσαμένη, ἀλλὰ καὶ τὸ προδοῦναι τὰς ψυχὰς τῇ τῶν δαιμόνων δουλείᾳ πάντων ὑπάρχειν θανάτων καὶ πάσης χεῖρον ἀπωλείας φήσασα, μίαν τούτων ἁπάντων εἶναι λύσιν ὑπετίθετο τὴν ἐπὶ τὸν κύριον καταφυγήν,

[90] Así San Barlaán, al que probablemente alude Eusebio; cf. AB 22 (1904) 129-145; SAN JUAN CRISÓSTOMO, *Laudatio in mart. Barlaam*: PG 50,675-682.

[91] Esto hizo Santa Pelagia; cf. SAN JUAN CRISÓSTOMO, *Homil. in mart. Pelag.*: PG 50, 579-586.

[92] Cf. MPal 5,3.

4 Entonces, puestas de acuerdo las tres, arreglaron decentemente sus vestidos en torno a sus cuerpos y, llegadas a la mitad misma del camino, pidieron a los guardias permiso para apartarse un momento, y se arrojaron al río que corría por allí al lado [93].

5 Estas, pues, se arrojaron ellas mismas, pero en la misma Antioquía hubo otra pareja de vírgenes, en todo dignas de Dios y verdaderamente hermanas, ilustres por su linaje, brillantes por su posición, jóvenes por la edad, hermosas de cuerpo, santas de alma, piadosas de carácter y admirables en su celo, a quienes, como si la tierra no fuera capaz de cargar con tanta grandeza, los siervos de los demonios mandaron arrojar al mar. Tal es lo que ocurrió con éstas [94].

6 Otros, por su parte, sufrieron en el Ponto tormentos que, con sólo oírlos, hacen estremecer. A unos les traspasaron los dedos con cañas puntiagudas, clavadas por la punta de las uñas; a otros, después de fundir plomo al fuego, hirviendo y candente como estaba, se lo vertían sobre las espaldas y les abrasaban las partes más necesarias del cuerpo;

7 y otros sufrieron en sus miembros secretos y en sus entrañas tormentos vergonzosos, implacables e imposibles de expresar con palabras, tormentos que aquellos nobles y legítimos jueces imaginaban con el mayor celo, mostrando su crueldad como un alarde de sabiduría y tratando a porfía de superarse los unos a los otros en la invención de suplicios, siempre más nuevos, como en un certamen con premios.

4 κἄπειτα ὁμοῦ τῇ γνώμῃ συνθέμεναι τά τε σώματα περιστείλασαι κοσμίως τοῖς περιβλήμασιν, ἐπ' αὐτῆς μέσης γενόμεναι τῆς ὁδοῦ, βραχύ τι τοὺς φύλακας εἰς ἀναχώρησιν ὑποπαραιτησάμεναι, ἐπὶ παραρρέοντα ποταμὸν ἑαυτὰς ἠκόντισαν.

5 αἵδε μὲν οὖν ἑαυτάς· ἄλλην δ' ἐπ' αὐτῆς Ἀντιοχείας ξυνωρίδα παρθένων τὰ πάντα θεοπρεπῶν καὶ ἀληθῶς ἀδελφῶν, ἐπιδόξων μὲν τὸ γένος, λαμπρῶν δὲ τὸν βίον, νέων τοὺς χρόνους, ὡραίων τὸ σῶμα, σεμνῶν τὴν ψυχήν, εὐσεβῶν τὸν τρόπον, θαυμαστῶν τὴν σπουδήν, ὡς ἂν μὴ φερούσης τῆς γῆς τὰ τοιαῦτα βαστάζειν, θαλάττῃ ῥίπτειν ἐκέλευον οἱ τῶν δαιμόνων θεραπευταί. ταῦτα μὲν οὖν παρὰ τοῖσδε·

6 τὰ φρικτὰ δὲ ἀκοαῖς κατὰ τὸν Πόντον ἔπασχον ἕτεροι, καλάμοις ὀξέσιν τοῖν χεροῖν ἐξ ἄκρων ὀνύχων τοὺς δακτύλους διαπειρόμενοι, καὶ ἄλλοι, πυρὶ μολίβδου διατακέντος, βρασσούσῃ καὶ πεπυρακτωμένῃ τῇ ὕλῃ τὰ νῶτα καταχεόμενοι καὶ τὰ μάλιστα ἀναγκαιότατα τοῦ σώματος καπτοπτώμενοι,

7 διά τε τῶν ἀπορρήτων ἕτεροι μελῶν τε καὶ σπλάγχνων αἰσχρὰς καὶ ἀσυμπαθεῖς καὶ οὐδὲ λόγῳ ῥητὰς ὑπέμενον πάθας, ἃς οἱ γενναῖοι καὶ νόμιμοι δικασταὶ τὴν σφῶν ἐπιδεικνύμενοι δεινότητα, ὥσπερ τινὰ σοφίας ἀρετήν, φιλοτιμότερον ἐπενόουν, αἰεὶ ταῖς καινότερον ἐφευρισκομέναις αἰκίαις, ὥσπερ ἐν ἀγῶνος βραβείοις, ἀλλήλους ὑπερεξάγειν ἁμιλλώμενοι.

[93] Sabemos sus nombres: Domnina, el de la madre, y Bernice y Prosdocé, el de las hijas. San Juan Crisóstomo, aunque sin nombrarlas, les dedica una bellísima homilía en que da un relato más completo (PG 50,629-640); cf. A. WILMART, *Le souvenir d'Eusèbe d'Émèse. Un discours en l'honneur des saintes d'Antioche Bernice, Prosdoce et Domnine:* AB 38 (1920) 241-284.

[94] Ignoramos sus nombres.

8 Pero el fin de estas calamidades llegó cuando, sucumbiendo ya a la fatiga de tal exceso de males, cansados de matar y hartos y aburridos de tanto derramamiento de sangre, se volvieron a lo que ellos tenían por bueno y humano, de modo que ya parecía que nada terrible se emprendería contra nosotros.

9 Porque no convenía, decían, manchar las ciudades con sangre de las propias gentes, ni acusar de crueldad al poder supremo de los príncipes, benévolo y suave para con todos, antes bien, se hacía necesario extender a todos el beneficio de la humana e imperial autoridad y no castigar ya más con la pena de muerte. Efectivamente, según ellos, por causa de la humanidad de los emperadores, este castigo suyo quedaba abolido contra nosotros.

10 Entonces se ordenó arrancar los ojos e inutilizar una de las dos piernas, pues para ellos esto era lo humano y el castigo más liviano aplicado contra nosotros; en consecuencia, por causa de esta humanidad de los impíos, no era ya posible describir la muchedumbre incalculable de mutilados [95]: unos, a quienes primero les fue arrancado el ojo derecho con la espada y luego cauterizado; otros, a quienes habían inutilizado el pie izquierdo, también por medio de cauterios en las articulaciones, y a los que luego habían condenado a las minas de cobre de cada provincia, no tanto por su servicio cuanto por maltratarlos y hacerles sufrir. Además de todos éstos, otros sucumbieron en diversos combates que ni siquiera es posible catalogar, ya que sus hazañas vencen a toda palabra.

**8** τὰ δ' οὖν τῶν συμφορῶν ἔσχατα, ὅτε δὴ λοιπὸν ἀπειρηκότες ἐπὶ τῇ τῶν κακῶν ὑπερβολῇ καὶ πρὸς τὸ κτείνειν ἀποκαμόντες πλησμονήν τε καὶ κόρον τῆς τῶν αἱμάτων ἐκχύσεως ἐσχηκότες, ἐπὶ τὸ νομιζόμενον αὐτοῖς χρηστὸν καὶ φιλάνθρωπον ἐτρέποντο, ὡς μηδὲν μὲν ἔτι δοκεῖν δεινὸν καθ' ἡμῶν περιεργάζεσθαι·

**9** μὴ γὰρ καθήκειν φασὶν αἵμασιν ἐμφυλίοις μιαίνειν τὰς πόλεις μηδ' ἐπ' ὠμότητι τὴν ἀνωτάτω διαβάλλειν τῶν κρατούντων ἀρχήν, εὐμενῆ τοῖς πᾶσιν ὑπάρχουσαν καὶ πραεῖαν, δεῖν δὲ μᾶλλον τῆς φιλανθρώπου καὶ βασιλικῆς ἐξουσίας εἰς πάντας ἐκτείνεσθαι τὴν εὐεργεσίαν, μηκέτι θανάτῳ κολαζομένους· λελύσθαι γὰρ αὐτῶν καθ' ἡμῶν ταύτην τὴν τιμωρίαν διὰ τὴν τῶν κρατούντων φιλανθρωπίαν.

**10** τηνικαῦτα ὀφθαλμοὺς ἐξορύττεσθαι καὶ τοῖν σκελοῖν πηροῦσθαι θάτερον προσετάττετο. ταῦτα γὰρ ἦν αὐτοῖς τὰ φιλάνθρωπα καὶ τῶν καθ' ἡμῶν τιμωριῶν τὰ κουφότατα, ὥστε ἤδη ταύτης ἕνεκα τῆς τῶν ἀσεβῶν φιλανθρωπίας οὐκέτ' εἶναι δυνατὸν ἐξειπεῖν τὸ πλῆθος τῶν ὑπὲρ πάντα λόγον τοὺς μὲν δεξιοὺς ὀφθαλμοὺς ξίφει πρότερον ἐκκοπτομένων κἄπειτα τούτους πυρὶ καυτηριαζομένων, τοὺς δὲ λαιοὺς πόδας κατὰ τῶν ἀγκυλῶν αὖθις καυτῆρσιν ἀχρειουμένων μετά τε ταῦτα τοῖς κατ' ἐπαρχίαν χαλκοῦ μετάλλοις οὐχ ὑπηρεσίας τοσοῦτον ὅσον κακώσεως καὶ ταλαιπωρίας ἕνεκεν καταδικαζομένων πρὸς ἅπασί τε τούτοις ἄλλων ἄλλοις ἀγῶσιν, οὓς μηδὲ καταλέγειν δυνατὸν (νικᾷ γὰρ πάντα λόγον τὰ κατ' αὐτοὺς ἀνδραγαθήματα), περιπεπτωκότων.

[95] Pueden verse algunos ejemplos en MPal 7,3; 8,1.4.13; 10,1; 13,6.

11 En estos combates, los magníficos mártires de Cristo brillaron por toda la tierra habitada y, como era natural, por todas partes llenaban de asombro a los testigos oculares de su valor, y en sí mismos ofrecían la prueba manifiesta del poder verdaderamente divino e inefable de nuestro Salvador [96]. Mas sería largo, por no decir imposible, hacer mención de cada uno por sus nombres.

## 13

[De los presidentes de las iglesias que, por medio de su sangre, mostraron la verdad de la religión de que eran embajadores]

1 Entre los dirigentes de las iglesias [97] que sufrieron martirio en las ciudades célebres, el primero que debemos proclamar como mártir en los monumentos erigidos a los santos del reino de Cristo es Antimo [98], obispo de la ciudad de Nicomedia, que fue decapitado.

2 De los mártires de Antioquía, a Luciano, excelentísimo presbítero de aquella iglesia por toda su vida, el mismo que, en Nicomedia, en presencia del emperador, proclamó el reino celestial de Cristo, primero de palabra, con una apología, y luego también con las obras [99].

3 De los mártires de Fenicia, los más ilustres pueden ser los pastores del rebaño espiritual de Cristo, amados de Dios en todo, Tiranión, obispo de la iglesia de Tiro; Zenobio, presbítero de la

**11** ἐν δὴ τούτοις ἐφ' ὅλης τῆς οἰκουμένης διαλάμψαντες οἱ μεγαλοπρεπεῖς τοῦ Χριστοῦ μάρτυρες τοὺς μὲν ἁπανταχοῦ τῆς ἀνδρείας αὐτῶν ἐπόπτας εἰκότως κατεπλήξαντο, τῆς δὲ τοῦ σωτῆρος ἡμῶν θείας ὡς ἀληθῶς καὶ ἀπορρήτου δυνάμεως ἐμφανῆ δι' ἑαυτῶν τὰ τεκμήρια παρεστήσαντο. ἑκάστου μὲν οὖν ἐπ' ὀνόματος μνημονεύειν μακρὸν ἂν εἴη, μή τί γε τῶν ἀδυνάτων·

ΙΓ'

**1** τῶν δὲ κατὰ τὰς ἐπισήμους πόλεις μαρτυρησάντων ἐκκλησιαστικῶν ἀρχόντων πρῶτος ἡμῖν ἐν εὐσεβῶν στήλαις τῆς Χριστοῦ βασιλείας ἀνηγορεύσθω μάρτυς ἐπίσκοπος τῆς Νικομηδέων πόλεως, τὴν κεφαλὴν ἀποτμηθείς, Ἄνθιμος,

**2** τῶν δ' ἐπ' Ἀντιοχείας μαρτύρων τὸν πάντα βίον ἄριστος πρεσβύτερος τῆς αὐτόθι παροικίας, Λουκιανός, ἐν τῇ Νικομηδείᾳ καὶ αὐτὸς βασιλέως ἐπιπαρόντος τὴν οὐράνιον τοῦ Χριστοῦ βασιλείαν λόγῳ πρότερον δι' ἀπολογίας, εἶτα δὲ καὶ ἔργοις ἀνακηρύξας.

**3** τῶν δ' ἐπὶ Φοινίκης μαρτύρων γένοιντ' ἂν ἐπισημότατοι τὰ πάντα θεοφιλεῖς τῶν λογικῶν Χριστοῦ θρεμμάτων ποιμένες, Τυραννίων ἐπίσκοπος τῆς κατὰ Τύρον ἐκκλησίας πρεσβύτερός τε τῆς κατὰ

[96] Cf. *supra* 7,2.
[97] No sólo obispos, sino también presbíteros; cf. *supra* 6,9.
[98] Cf. *supra* 6,6.
[99] Cf. *infra* IX 6,3. Discípulo de Pablo de Samosata, se le considerará padre del arrianismo y fundador de la llamada Escuela de Antioquía; cf. G. Bardy, *Recherches sur Lucien d'Antioche et son école* (París 1936). Sufrió el martirio ya en 313.

de Sidón, y también Silvano, obispo de las iglesias de la comarca de Emesa [100].

4 Este último, junto con otros, fue pasto de las fieras en la misma Emesa y recibido así entre los coros de los mártires. En cuanto a los otros dos, ambos glorificaron al Verbo de Dios [101] en Antioquía con su constancia hasta la muerte: el obispo [102], arrojado a los abismos del mar [103]; y Zenobio, el mejor de los médicos, muriendo valerosamente en medio de las torturas que le aplicaron a los costados.

5 Entre los mártires de Palestina, Silvano, obispo de las iglesias de la comarca de Gaza, fue decapitado, junto con otros treinta y nueve, en las minas de cobre de Feno [104]; y allí mismo acabaron su vida por el fuego, junto con otros, los obispos egipcios Peleo y Nilo [105].

6 Y entre éstos mencionemos la gran gloria de la iglesia de Cesarea, el presbítero Pánfilo, el más admirable de nuestros tiempos; ya describiremos [106] en el momento oportuno la excelencia de sus hazañas.

7 Entre los gloriosamente consumados en Alejandría, en todo Egipto y en la Tebaida, citaremos en primer lugar a Pedro [107], obispo de la propia Alejandría, ejemplar divino de maestros de la religión de Cristo; y a los presbíteros que con él estaban, Faus-

Σιδῶνα Ζηνόβιος καὶ ἔτι Σιλβανός τῶν ἀμφὶ τὴν Ἔμισαν ἐκκλησιῶν ἐπίσκοπος.

4 ἀλλ' οὗτος μὲν θηρίων βορὰ μεθ' ἑτέρων ἐπ' αὐτῆς Ἐμίσης γενόμενος χοροῖς ἀνελήφθη μαρτύρων, τὼ δ' ἐπ' Ἀντιοχείας ἄμφω τὸν τοῦ θεοῦ λόγον διὰ τῆς εἰς θάνατον ὑπομονῆς ἐδοξασάτην, ὁ μὲν θαλαττίοις παραδοθεὶς βυθοῖς, ὁ ἐπίσκοπος, ὁ δὲ ἰατρῶν ἄριστος Ζηνόβιος ταῖς κατὰ τῶν πλευρῶν ἐπιτεθείσαις αὐτῷ καρτερῶς ἐναποθανὼν βασάνοις.

5 τῶν δ' ἐπὶ Παλαιστίνης μαρτύρων Σιλβανός, ἐπίσκοπος τῶν ἀμφὶ τὴν Γάζαν ἐκκλησιῶν, κατὰ τὰ ἐν Φαινοῖ χαλκοῦ μέταλλα σὺν ἑτέροις ἑνὸς δέουσι τὸν ἀριθμὸν τεσσαράκοντα τὴν κεφαλὴν ἀποτέμνεται, Αἰγύπτιοί τε αὐτόθι Πηλεὺς καὶ Νεῖλος ἐπίσκοποι μεθ' ἑτέρων τὴν διὰ πυρὸς ὑπέμειναν τελευτήν.

6 καὶ τὸ μέγα δὲ κλέος τῆς Καισαρέων παροικίας ἐν τούτοις ἡμῖν μνημονευέσθω Πάμφιλος πρεσβύτερος, τῶν καθ' ἡμᾶς θαυμασιώτατος, οὗ τῶν ἀνδραγαθημάτων τὴν ἀρετὴν κατὰ τὸν δέοντα καιρὸν ἀναγράψομεν.

7 τῶν δ' ἐπ' Ἀλεξανδρείας καθ' ὅλης τε Αἰγύπτου καὶ Θηβαΐδος διαπρεπῶς τελειωθέντων πρῶτος Πέτρος, αὐτῆς Ἀλεξανδρείας ἐπίσκοπος, θεῖον τι χρῆμα διδασκάλων τῆς ἐν Χριστῷ θεοσεβείας, ἀναγεγράφθω, καὶ τῶν σὺν αὐτῷ πρεσβυτέρων Φαῦστος καὶ Δῖος καὶ Ἀμμώνιος, τέλειοι Χριστοῦ μάρτυρες, Φιλέας τε καὶ

100 Cf. *infra* IX 6,1.
101 Cf. Act 13,48.
102 Esto es, Tiranión; cf. *AA. SS. Decemb.* Propylaeum p.70.
103 Por supuesto, no en la misma Antioquía, alejada del mar, sino en su zona marítima, entre Seleucia y Posidio.
104 Cf. MPal 13,4-5.9-10. Feno se hallaba en Idumea, entre Petra y Zoar.
105 Cf. MPal 13,3.
106 Puesto que la *Vida de Pánfilo* estaba ya escrita, este futuro ha de referirse al relato de su martirio en MPal 7,4-6; 11; cf. *supra* 2,3.
107 Cf. *supra* VII 32,31; *infra* IX 6,2; cf. T. VIVIAN, *Saint Peter of Alexandria: Bishop and Martyr.* Diss. (Santa Bárbara, Ca 1987).

to [108], Dío y Ammonio, mártires perfectos de Cristo; lo mismo que a Fileas [109], Hesiquio, Paquimio y Teodoro [110], obispos de las iglesias de Egipto, y a otros innumerables además de ellos, ilustres todos, de los cuales hacen memoria las iglesias de cada región y de cada lugar. Poner por escrito los combates de los que lucharon por la religión divina en toda la tierra habitada y narrar con exactitud todo lo que les aconteció no es tarea nuestra, pero podrían hacerla propia los que captaron los hechos con sus propios ojos. En cuanto a los que yo mismo presencié, los daré a conocer a la posteridad por medio de otro libro [111].

8 En la presente obra, a lo ya dicho añadiré la palinodia [112] cantada por lo que se hizo contra nosotros desde el comienzo de la persecución, que será del máximo provecho de los lectores.

9 Ahora bien, ¿qué palabras serían bastantes para describir la abundancia de bienes y la prosperidad de que fue digno el gobierno de Roma antes de su guerra contra nosotros, durante el período en que los gobernantes eran amigables y pacíficos con nosotros? Era el tiempo en que los que gobernaban el imperio universal cumplían el décimo y el vigésimo aniversario [113] de su mando y pasaban su vida en completa y sólida paz entre fiestas, juegos públicos y espléndidos banquetes y festines.

Ἡσύχιος καὶ Παχύμιος καὶ Θεόδωρος, τῶν ἀμφὶ τὴν Αἴγυπτον ἐκκλησιῶν ἐπίσκοποις, μυρίοι τε ἐπὶ τούτοις ἄλλοι διαφανεῖς, οἳ πρὸς τῶν κατὰ χώραν καὶ τόπον παροικιῶν μνημονεύονται· ὧν ἀνὰ τὴν πᾶσαν οἰκουμένην ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἠγωνισμένων γραφῇ παραδιδόναι τοὺς ἄθλους ἐπ' ἀκριβές τε ἕκαστα τῶν περὶ αὐτοὺς συμβεβηκότων ἱστορεῖν οὐχ ἡμέτερον, τῶν δ' ὄψει τὰ πράγματα παρειληφότων ἴδιον ἂν γένοιτο· οἷς γε μὴν αὐτὸς παρεγενόμην, τούτους καὶ τοῖς μεθ' ἡμᾶς γνωρίμους δι' ἑτέρας ποιήσομαι γραφῆς.

8 κατά γε μὴν τὸν παρόντα λόγον τὴν παλινῳδίαν τῶν περὶ ἡμᾶς εἰργασμένων τοῖς εἰρημένοις ἐπισυνάψω τά τε ἐξ ἀρχῆς τοῦ διωγμοῦ συμβεβηκότα, χρησιμώτατα τυγχάνοντα τοῖς ἐντευξομένοις.

9 Τά μὲν οὖν πρὸ τοῦ καθ' ἡμῶν πολέμου τῆς Ῥωμαίων ἡγεμονίας, ἐν ὅσοις δὴ χρόνοις τὰ τῶν ἀρχόντων φίλιά τε ἦν ἡμῖν καὶ εἰρηναῖα, ὁπόσης ἀγαθῶν εὐφορίας καὶ εὐετηρίας ἠξίωτο, τίς ἂν ἐξαρκέσειεν λόγος διηγήσασθαι; ὅτε καὶ οἱ μάλιστα τῆς καθόλου κρατοῦντες ἀρχῆς δεκαετηρίδας καὶ εἰκοσαετηρίδας ἐκπλήσαντες, ἐν ἑορταῖς καὶ πανηγύρεσιν φαιδροτάταις τε θαλίαις καὶ εὐφροσύναις μετὰ πάσης εὐσταθοῦς διετέλουν εἰρήνης.

108 Cf. *supra* VII 11,26.

109 Cf. *supra* 9,7.

110 Hesiquio, Paquimio y Teodoro son los obispos encarcelados con Fileas. Desde la cárcel de Alejandría escribieron una carta al obispo de Licópolis, Melecio, carta que se conserva y puede verse en PG 10,1565; cf. E. Schwartz, *Zur Geschichte des Athanasius:* Nachrichten von der königl. Gesellsch. der Wiss. z. Göttingen (1905) 175ss.

111 Será en MPal.

112 Es decir, el edicto de tolerancia de Galerio, de 311; cf. *infra* 17,3-10; con él parece que Eusebio quería en un principio acabar su obra.

113 Las fiestas llamadas, respectivamente, *decennalia* y *vicennalia*. Después de Antonino Pío fue Diocleciano el primer emperador que pudo celebrar sus *vicennalia*. Las celebró en Roma el 20 de noviembre de 303, adelantándose en dos años; su colega Maximiano las celebró el 1 de mayo de 305, el día mismo de su abdicación.

10 Pero cuando su autoridad, libre de obstáculos, iba creciendo día a día y prosperando a grandes pasos, de repente dieron un cambio en su pacífica disposición para con nosotros y suscitaron una guerra sin cuartel. Mas no se habían cumplido todavía los dos años [114] de semejante movimiento cuando por todo el Imperio se produjo algo imprevisto que trastornó todos los asuntos.

11 Efectivamente, habiéndose abatido sobre el primero y principal de los que hemos dicho [115] una enfermedad que nada bueno auguraba y que le extravió la mente hasta alienarlo, retiróse a la vida corriente y privada junto con el que ocupaba el segundo puesto en los honores [116]. Pero aún no se había realizado esto así [117], y ya el Imperio se partía en dos, todo él, cosa que jamás en lo que se recuerda había tenido lugar anteriormente [118].

12 Pero al cabo de no muy grande intervalo [119], el emperador Constancio, que toda su vida había tratado a sus súbditos con la mayor suavidad y benevolencia y a la doctrina divina con la mejor amistad, terminó su vida según la ley común de la naturaleza [120], dejando a su hijo legítimo Constantino como emperador y augusto en lugar suyo [121]. Bondadoso y suave más que los otros empera-

**10** οὕτω δ' αὐτοῖς ἀπαραποδίστως αὐξούσης καὶ ἐπὶ μέγα ὁσημέραι προϊούσης τῆς ἐξουσίας, ἀθρόως τῆς πρὸς ἡμᾶς εἰρήνης μεταθέμενοι, πόλεμον ἄσπονδον ἐγείρουσιν· οὔπω δ' αὐτοῖς τῆς τοιᾶσδε κινήσεως δεύτερον ἔτος πεπλήρωτο, καί τι περὶ τὴν ὅλην ἀρχὴν νεώτερον γεγονὸς τὰ πάντα πράγματα ἀνατρέπει.

**11** νόσου γὰρ οὐκ αἰσίας τῷ πρωτοστάτῃ τῶν εἰρημένων ἐπισκηψάσης, ὑφ' ἧς ἤδη καὶ τὰ τῆς διανοίας εἰς ἔκστασιν αὐτῷ παρήγετο, σὺν τῷ μετ' αὐτὸν δευτερείοις τετιμημένῳ τὸν δημώδη καὶ ἰδιωτικὸν ἀπολαμβάνει βίον· οὔπω δὲ ταῦθ' οὕτω πέπρακτο, καὶ διχῇ τὰ πάντα τῆς ἀρχῆς διαιρεῖται, πρᾶγμα μηδ' ἄλλοτέ πω πάλαι γεγονὸς μνήμῃ παραδεδομένον.

**12** χρόνου δ' οὐ πλείστου μεταξὺ γενομένου βασιλεὺς Κωνστάντιος τὸν πάντα βίον πρᾳότατα καὶ τοῖς ὑπηκόοις εὐνοϊκώτατα τῷ τε θείῳ λόγῳ προσφιλέστατα διαθέμενος, παῖδα γνήσιον Κωνσταντῖνον αὐτοκράτορα καὶ Σεβαστὸν ἀνθ' ἑαυτοῦ καταλιπών, κοινῷ φύσεως νόμῳ τελευτᾷ τὸν βίον, πρῶτός τε ἐν

114 Es decir, en 305, pues la persecución había empezado en febrero de 303; cf. *supra* 2,4.

115 Es decir, sobre Diocleciano.

116 Diocleciano obligó a Maximiano Hercúleo, el segundo augusto, a abdicar juntamente con él, acto que tuvo lugar el 1 de mayo de 305, día de los *vicennalia* del último, como vimos. Les sucedieron con el título de augustos las césares Galerio y Constancio Cloro, y se nombró césares a Severo y a Maximino Daza o Daya; cf. L. HOMO, *Nueva Historia de Roma* (Barcelona 1943) p.366; W. SESTON, *Dioclétien et la tétrarchie* (París 1943); G. S. R. THOMAS, *L'abdication de Dioclétien*: Byzantion 43 (1973) 229-247.

117 Esta frase y lo que sigue del párrafo no tiene sentido en este contexto, aunque sí cotejándolo con los lugares paralelos de MPal. Schwartz piensa que Eusebio se olvidó de borrarlo en su última revisión de su HE.

118 Prácticamente, Constancio Cloro y Severo se quedaron con todo el Occidente, mientras que Galerio y Maximino Daza se apropiaron de Oriente. En Occidente apenas se notará la persecución; en Oriente, en cambio, se agudizará cruelmente; cf. MPal 13,13; G. GIGLI, *L'impero romano dell'abdicazione di Diocleziano alla morte di Costantino*, 305-337 (Roma 1958).

119 Lo que sigue, hasta el capítulo 15, ha sido objeto de varias revisiones por parte de Eusebio, y el resultado ha sido un texto confuso y a veces incongruente; cf. R. LAQUEUR, *Eusebius als Historiker seiner Zeit* (Berlín 1929) p.47-65.

120 Es decir, de muerte natural.

121 Constancio murió en Eboracum (York), el 25 de julio de 306. Lactancio *(De mort. pers.* 24,8) coincide con Eusebio al afirmar que Constancio designó a su hijo Constantino como sucesor, recomendándolo así a sus soldados, quienes, efectivamente, lo proclamaron

dores, él fue el primero [122] al que entre ellos proclamaron dios, por considerarlo digno de todo el honor que se debe a un emperador después de su muerte.

13 El fue también el único de nuestros contemporáneos que en todo el tiempo de su mandato se portó de una manera digna del Imperio. En lo demás, para todos se mostró el más favorable y el más bienhechor, y no participó lo más mínimo en la guerra contra nosotros, antes bien, incluso preservó libres de daño y de vejación a los fieles que eran súbditos suyos. Tampoco derribó los edificios de las iglesias ni admitió novedad alguna contra nosotros, y tuvo un final de su vida feliz y triplemente dichoso, pues fue el único que murió querido y glorioso en sus propios dominios imperiales, junto a un sucesor, hijo legítimo suyo, prudentísimo y piadosísimo en todo.

14 Su hijo Constantino, proclamado inmediatamente desde el comienzo emperador absoluto y augusto por las legiones [123], y mucho antes aún que por éstas, por el mismo Dios, emperador universal, se mostró émulo de su padre en la piedad para con nuestra doctrina [124]. Así era este hombre. Pero, además de ellos, se proclamó a Licinio emperador y augusto por voto común de los emperadores [125].

θεοῖς ἀνηγορεύετο παρ' αὐτοῖς, ἁπάσης μετὰ θάνατον, ὅση βασιλεῖ τις ἂν ὠφείλετο, τιμῆς ἠξιωμένος, χρηστότατος καὶ ἠπιώτατος βασιλέων·

**13** ὃς δὴ καὶ μόνος τῶν καθ' ἡμᾶς ἐπαξίως τῆς ἡγεμονίας τὸν πάντα τῆς ἀρχῆς διατελέσας χρόνον καὶ τἄλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτὸν τοῦ τε καθ' ἡμῶν πολέμου μηδαμῶς ἐπικοινωνήσας, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους φυλάξας καὶ μήτε τῶν ἐκκλησιῶν τοὺς οἴκους καθελὼν μήθ' ἕτερόν τι καθ' ἡμῶν καινουργήσας, τέλος εὔδαιμον καὶ τρισμακάριον ἀπείληφεν τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ γνησίῳ παιδὶ πάντα σωφρονεστάτῳ τε καὶ εὐσεβεστάτῳ τελευτήσας.

**14** τούτου παῖς Κωνσταντῖνος εὐθὺς ἀρχόμενος βασιλεὺς τελεώτατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων καὶ ἔτι πολὺ τούτων πρότερον πρὸς αὐτοῦ τοῦ παμβασιλέως θεοῦ ἀναγορευθείς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. καὶ οὗτος μὲν τοιοῦτος· Λικίννιος δ' ἐπὶ τούτοις ὑπὸ κοινῆς ψήφου τῶν κρατούντων αὐτοκράτωρ καὶ Σεβαστὸς ἀναπέφηνεν.

emperador con el título de augusto. Con ello se asestaba un duro golpe al principio de sucesión de la tetrarquía, que excluía los lazos de sangre. La crisis no se hizo esperar; cf. L. HOMO o.c., p.366-367; E. HORST, *Konstantin der Grosse. Eine Biographie* (Düseldorf 1984).

[122] El primero entre los tetrarcas.

[123] Cf. LACTANCIO, *De mort. pers.* 24-25.

[124] Según Lactancio (o.c., 24,9), una de sus primeras obras de gobierno fue restaurar el cristianismo, afirmación sin duda exagerada.

[125] Los hechos que aquí resume Eusebio son mucho más complejos. Galerio no aceptó a Constantino como augusto y, en su lugar, nombró a Severo, dejando a aquél solamente el título de césar. Pero Majencio, el hijo de Maximiano, siguiendo el ejemplo de Constantino, se proclamó augusto en Roma. Su padre, Maximiano, que había abdicado contra su voluntad, volvió al poder. Resultado: cinco augustos (dos legítimos y tres usurpadores) y un césar. Muerto Severo al tratar de eliminar a Majencio, por orden de Galerio, éste, reunido en Carnúntum en noviembre de 307 con Diocleciano y Maximiano, lo sustituyó por Licinio, con el título de augusto. Cf. L. HOMO, o.c., p.366-367.

15 Esto irritó terriblemente a Maximino, que hasta ese momento todavía seguía para todos con el único título de césar. En consecuencia, como era un grandísimo tirano, arrebató para sí fraudulentamente la dignidad de augusto y se convirtió en tal por sí y ante sí [126].

Y en este tiempo se sorprendió urdiendo un atentado contra la vida de Constantino a aquel que, según se ha demostrado [127], después de su abdicación volvió al cargo y murió con la más vergonzosa muerte. Fue el primero de quien destruyeron las inscripciones honoríficas, las estatuas y todo lo que se acostumbra a ofrendar, como de hombre por demás sacrílego e impío [128].

# 14

## [Del carácter de los enemigos de la religión]

1 Su hijo Majencio, que en Roma se había constituido en tirano, comenzó fingiendo tener nuestra fe, por agradar y adular al pueblo romano, y por esta razón ordenó a sus súbditos interrumpir la persecución contra los cristianos, simulando piedad y pensando que así aparecería acogedor y mucho más suave que sus antecesores [129].

**15** ταῦτα Μαξιμῖνον δεινῶς ἐλύπει, μόνον Καίσαρα παρὰ πάντας εἰς ἔτι τότε χρηματίζοντα· ὃς δὴ οὖν τὰ μάλιστα τυραννικὸς ὤν, παραρπάσας ἑαυτῷ τὴν ἀξίαν, Σεβαστὸς ἦν, αὐτὸς ὑφ' ἑαυτοῦ γεγονώς. ἐν τούτῳ δὲ Κωνσταντίνῳ μηχανὴν θανάτου συρράπτων ἁλοὺς ὁ μετὰ τὴν ἀπόθεσιν ἐπανῃρῆσθαι δεδηλωμένος αἰσχίστῳ καταστρέφει θανάτῳ· πρώτου δὲ τούτου τὰς ἐπὶ τιμῇ γραφὰς ἀνδριάντας τε καὶ ὅσα τοιαῦτα ἐπ' ἀναθέσει νενόμισται, ὡς ἀνοσίου καὶ δυσσεβεστάτου καθῄρουν.

ΙΔ'

**1** τούτου παῖς Μαξέντιος, ὁ τὴν ἐπὶ Ῥώμης τυραννίδα συστησάμενος, ἀρχόμενος μὲν τὴν καθ' ἡμᾶς πίστιν ἐπ' ἀρεσκείᾳ καὶ κολακείᾳ τοῦ δήμου Ῥωμαίων καθυπεκρίνατο ταύτῃ τε τοῖς ὑπηκόοις τὸν κατὰ Χριστιανῶν ἀνεῖναι προστάττει διωγμόν, εὐσέβειαν ἐπιμορφάζων καὶ ὡς ἂν δεξιὸς καὶ πολὺ πρᾶος παρὰ τοὺς προτέρους φανείη·

[126] A partir de este momento hubo seis emperadores, todos augustos y ningún césar. La legalidad tetrárquica estaba acabada.

[127] No lo ha mencionado en ninguna parte. Los Mss y versiones difieren bastante en este pasaje.

[128] Se refiere a Maximiano Hercúleo. Constantino lo apresó en Marsella en 309, y en 310 parece que le obligó a suicidarse—o lo hizo asesinar—, a pesar de que era su suegro; cf. Eusebio, VC 1,47; Lactancio, *De mort. pers.* 29-30. La «damnatio memoriae» era consecuencia casi obligada. Eusebio, al escribir «el primero», quiere decir el primero de los tetrarcas; cf. Lactancio, o.c., 42.

[129] El favor de Majencio para con los cristianos, aunque motivado por intereses políticos, es innegable. El mismo Lactancio (o.c., 43) no parece considerarlo «enemigo de Dios», esto es, perseguidor. Pero de ahí a que pasase por cristiano, como quiere Eusebio, hay mucha distancia; no es probable; cf. A. Pincherle, *La politica ecclesiastica di Massenzio:* Studi di Filologia Classica 7 (1929) 131ss; D. de Decker, *La politique religieuse de Maxence:* Byzantion 38 (1968) 472-562.

2 A la verdad no apareció en las obras tal como se esperaba que sería, sino que, viniendo a dar en toda clase de sacrilegios, no descuidó una sola obra de perversidad y desenfreno, y cometió adulterios y toda clase de corrupción. Por ejemplo, separando de sus maridos a sus legítimas esposas, las ultrajaba de la manera más deshonrosa y luego se las remitía de nuevo a los maridos; y ponía cuidado en no emprender esto con gentes insignificantes y oscuras, antes bien, se cebaba especialísimamente en los más eminentes de los mismos que se habían ganado los primeros puestos del senado romano [130].

3 Todos los que estaban a su merced, plebeyos y magistrados, famosos y gente vulgar, todos estaban cansados de tan terrible tiranía, y aunque estaban en calma y soportaban su amarga esclavitud, sin embargo, no se daba cambio alguno en la sanguinaria crueldad del tirano. Efectivamente, a veces con un pretexto baladí daba carta blanca a su cuerpo de guardia para ejecutar una matanza entre el pueblo, y así fueron asesinadas muchedumbres incontables del pueblo romano en medio de la ciudad, y no por obra de las lanzas y armas de escitas y bárbaros, sino de los propios ciudadanos [131].

4 Así, por ejemplo, no es posible calcular el número de senadores asesinados con miras a apoderarse de sus fortunas, pues fueron infinitos los eliminados en diferentes ocasiones y por diferentes causas, todas inventadas.

5 Pero el colmo de los males empujó al tirano hasta la magia. Con vistas a la magia hacía abrir en canal a mujeres encinta, escu-

2 οὐ μὴν οἷος ἔσεσθαι ἠλπίσθη, τοιοῦτος ἔργοις ἀναπέφηνεν, εἰς πάσας δ' ἀνοσιουργίας ὀκείλας, οὐδὲν ὅ τι μιαρίας ἔργον καὶ ἀκολασίας παραλέλοιπεν, μοιχείας καὶ παντοίας ἐπιτελῶν φθοράς. διαζευγνύς γέ τοι τῶν ἀνδρῶν τὰς κατὰ νόμον γαμετάς, ταύταις ἐνυβρίζων ἀτιμότατα, τοῖς ἀνδράσιν αὖθις ἀπέπεμπεν, καὶ ταῦτ' οὐκ ἀσήμοις οὐδ' ἀφανέσιν ἐγχειρῶν ἐπετήδευεν, ἀλλ' αὐτῶν δὴ μάλιστα τῶν τὰ πρῶτα τῆς Ῥωμαίων συγκλήτου βουλῆς ἀπενηνεγμένων ἐμπαροινῶν τοῖς ἐξοχωτάτοις.

3 οἱ πάντες δ' αὐτὸν ὑποπεπτηχότες, δῆμοι καὶ ἄρχοντες, ἔνδοξοί τε καὶ ἄδοξοι, δεινῇ κατετρύχοντο τυραννίδι, καὶ οὐδ' ἠρεμούντων καὶ τὴν πικρὰν φερόντων δουλείαν ἀπαλλαγή τις ὅμως ἦν τῆς τοῦ τυράννου φονώσης ὠμότητος. ἐπὶ σμικρᾷ γοῦν ἤδη ποτὲ προφάσει τὸν δῆμον εἰς φόνον τοῖς ἀμφ' αὐτὸν δορυφόροις ἐκδίδωσιν, καὶ ἐκτείνετο μυρία τοῦ δήμου Ῥωμαίων πλήθη, ἐπὶ μέσης τῆς πόλεως, οὐ Σκυθῶν οὐδὲ βαρβάρων ἀλλ' αὐτῶν τῶν οἰκείων δόρασι καὶ πανοπλίαις·

4 συγκλητικῶν γε μὴν φόνος ὁπόσος δι' ἐπιβουλὴν ἐνηργεῖτο τῆς οὐσίας, οὐδ' ἐξαριθμήσασθαι δυνατόν, ἄλλοτε ἄλλαις πεπλασμέναις αἰτίαις μυρίων ἀναιρουμένων.

5 ἡ δὲ τῶν κακῶν τῷ τυράννῳ κορωνὶς ἐπὶ γοητείαν ἤλαυνεν, μαγικαῖς ἐπινοίαις τοτὲ μὲν γυναῖκας ἐγκύμονας ἀνασχίζοντος, τοτὲ δὲ νεογνῶν σπλάγχνα βρεφῶν διερευνωμένου λέοντάς τε κατα-

130 Cf. Eusebio, VC 1,33; parecida apreciación en A. Victor, *Caes.* 40,19.
131 Cf. Eusebio, VC 1,35; A. Victor, *Caes.* 40,24.

driñar las entrañas de niños recién nacidos o degollar leones, y creaba algunas abominables invocaciones sobre demonios y un sacrificio conjurador de la guerra, pues él tenía puesta toda su esperanza en estos medios para lograr la victoria [132].

6 En consecuencia, mientras él estuvo como tirano en Roma, es imposible decir lo que hizo para esclavizar a sus súbditos, tanto que los mismos víveres más necesarios llegaron a una escasez y penuria tan extremas como no recuerdan nuestros contemporáneos haber visto en Roma ni en ninguna otra parte [133].

7 En cuanto al tirano de Oriente, Maximino, habiendo pactado amistad en secreto con el de Roma [134], como con un hermano en la maldad, se afanaba por ocultarlo el mayor tiempo posible, pero se le descubrió y pagó luego su merecido [135].

8 Era de admirar cómo también él había logrado afinidad y hermandad, es más, el primer puesto en maldad y la palma en perversidad, respecto del tirano de Roma [136]. Efectivamente, consideraba a los principales charlatanes y magos dignos del más alto honor, por lo miedoso y en extremo supersticioso que era y por la importancia que daba al errar en materia de ídolos y demonios. Sin consultar adivinos y oráculos, era absolutamente incapaz de atreverse a mover, por así decirlo, ni siquiera una uña [137].

9 Esta fue la causa de que se diera con mayor furia y frecuencia que sus predecesores a la persecución contra nosotros. Dio orden

σφάττοντος καὶ τινας ἀρρητοποιίας ἐπὶ δαιμόνων προκλήσεις καὶ ἀποτροπιασμὸν τοῦ πολέμου συνισταμένου· διὰ τούτων γὰρ αὐτῷ τὰ τῆς νίκης κατορθωθήσεσθαι ἡ πᾶσα ἐτύγχανεν ἐλπίς.

6 οὗτος μὲν οὖν ἐπὶ Ῥώμης τυραννῶν οὐδ' ἔστιν εἰπεῖν οἷα δρῶν τοὺς ὑπηκόους κατεδουλοῦτο, ὡς ἤδη καὶ τῶν ἀναγκαίων τροφῶν ἐν ἐσχάτῃ σπάνει καὶ ἀπορίᾳ καταστῆναι, ὅσην ἐπὶ Ῥώμης οὐδ' ἄλλοτε οἱ καθ' ἡμᾶς γενέσθαι μνημονεύουσιν·

7 ὁ δ' ἐπ' ἀνατολῆς τύραννος Μαξιμῖνος, ὡς ἂν πρὸς ἀδελφὸν τὴν κακίαν, πρὸς τὸν ἐπὶ Ῥώμης φιλίαν κρύβδην σπενδόμενος, ἐπὶ πλεῖστον χρόνον λανθάνειν ἐφρόντιζεν· φωραθείς γέ τοι ὕστερον δίκην τίννυσι τὴν ἀξίαν.

8 ἦν δὲ θαυμάσαι ὅπως καὶ οὗτος τὰ συγγενῆ καὶ ἀδελφά, μᾶλλον δὲ κακίας τὰ πρῶτα καὶ τὰ νικητήρια τῆς τοῦ κατὰ Ῥώμην τυράννου κακοτροπίας ἀπενηνεγμένος· γοήτων τε γὰρ καὶ μάγων οἱ πρῶτοι τῆς ἀνωτάτω παρ' αὐτῷ τιμῆς ἠξίωντο, ψοφοδεοῦς ἐς τὰ μάλιστα καὶ δεισιδαιμονεστάτου καθεστῶτος τήν τε περὶ τὰ εἴδωλα καὶ τοὺς δαίμονας περὶ πολλοῦ τιθεμένου πλάνην· μαντειῶν γοῦν δίχα καὶ χρησμῶν οὐδὲ μέχρις ὄνυχος ὡς εἰπεῖν τολμᾶν τι κινεῖν οἷός τε ἦν·

9 οὗ χάριν καὶ τῷ καθ' ἡμῶν σφοδρότερον ἢ οἱ πρόσθεν καὶ πυκνότερον ἐπετίθετο διωγμῷ, νεὼς κατὰ πᾶσαν πόλιν ἐγείρειν καὶ τὰ χρόνου μήκει καθῃρημένα τεμένη διὰ σπουδῆς ἀνανεοῦσθαι προστάττων ἱερέας τε εἰδώλων κατὰ πάντα

[132] Lactancio, *De mort. pers.* 44,1-8.
[133] Cf. Eusebio, VC 1,35-36; A. Victor, *Caes.* 40,24.
[134] Cf. Lactancio, o.c., 43.
[135] Cf. Ibid., 44,10.
[136] Aquí Eusebio parece presentar a Maximino como émulo de Majencio; más abajo, en el párrafo 16, presenta a éste imitando al primero; cf. *supra* 13,15.
[137] Cf. *infra* IX 10,2-6.

de levantar templos en todas las ciudades y renovar diligentemente los santuarios destruidos por el tiempo transcurrido; estableció en cada lugar y en cada ciudad sacerdotes de ídolos, y sobre éstos, como sumo sacerdote de cada provincia, con escolta y guardia militar, a uno de los magistrados que más brillantemente se hubieran distinguido en todos los cargos públicos, y, en fin, regaló el mando y los mayores honores, sin la menor reserva, a toda clase de hechiceros, por creerles gente piadosa y amiga de los dioses [138].

10 Partiendo de estos principios, vejaba y oprimía no ya a una ciudad ni a una región, sino a todas las provincias que estaban bajo su dominio, con exacciones de oro, plata y riquezas sin cuento [139], y con gravísimas acusaciones falsas y otras diferentes penas, según la ocasión. Arrebatando a los ricos los bienes amasados por sus antepasados, regalaba a manos llenas riquezas y montones de dinero a los aduladores que le rodeaban.

11 En verdad, a tales excesos de bebida y de embriaguez se dejaba llevar que, en bebiendo, enloquecía y perdía la razón, y tales órdenes daba estando borracho, que al día siguiente, recobrados los sentidos, tenía que arrepentirse. De nadie se dejaba ganar en crápula y desenfreno, constituyéndose en maestro de maldad para cuantos le rodeaban, gobernantes y gobernados. Al ejército lo incitaba con toda clase de placeres e intemperancias a enervarse de molicie, y provocaba a los gobernantes y comandantes militares a echarse sobre sus súbditos con rapiñas y avaricias, teniéndolos poco menos que por compañeros de tiranía.

τόπον καὶ πόλιν καὶ ἐπὶ τούτων ἑκάστης ἐπαρχίας ἀρχιερέα τῶν ἐν πολιτείαις ἕνα γέ τινα τῶν μάλιστα ἐμφανῶς διά πάσης ἐμπρέψαντα λειτουργίας μετά στρατιωτικοῦ στίφους καὶ δορυφορίας ἐκτάσσων ἀναίδην τε πᾶσιν γόησιν, ὡς ἂν εὐσεβέσιν καὶ θεῶν προσφιλέσιν, ἡγεμονίας καὶ τάς μεγίστας προνομίας δωρούμενος.

**10** ἐκ δὴ τούτων ὁρμώμενος, πόλιν μὲν οὐ μίαν οὐδὲ χώραν, ὅλας δὲ ἄρδην τὰς ὑπ' αὐτὸν ἐπαρχίας χρυσοῦ καὶ ἀργύρου καὶ χρημάτων ἀμυθήτων εἰσπράξεσιν ἐπισκήψεσίν τε βαρυτάταις καὶ ἄλλοτε ἄλλαις καταδίκαις ἠνία καὶ κατεπίεζεν. τῶν γε μὴν εὐπόρων τὰς ἐκ προγόνων περιποιηθείσας οὐσίας ἀφαιρούμενος, πλούτους ἀθρόως καὶ σωροὺς χρημάτων τοῖς ἀμφ' αὐτὸν κόλαξιν ἐδωρεῖτο.

**11** παροινίας γε μὴν καὶ μέθης ἐς τοσαύτην ἠνέχθη φοράν, ὡς ἐν τοῖς πότοις παρακόπτειν καὶ τῶν φρενῶν παρεξίστασθαι τοιαῦτά τε μεθύοντα προστάττειν, οἷα ἀνανήψαντα αὐτὸν τῇ ὑστεραίᾳ εἰς μετάμελον ἄγειν· κραιπάλης δὲ καὶ ἀσωτίας μηδενὶ καταλιπὼν ὑπερβολήν, κακίας διδάσκαλον τοῖς ἀμφ' αὐτὸν ἄρχουσί τε καὶ ἀρχομένοις ἑαυτὸν καθίστη, θρύπτεσθαι μὲν τὸ στρατιωτικὸν διά πάσης τρυφῆς τε καὶ ἀκολασίας ἐνάγων, ἡγεμόνας δὲ καὶ στρατοπεδάρχας δι' ἁρπαγῶν καὶ πλεονεξίας χωρεῖν κατά τῶν ὑπηκόων μόνον οὐχὶ συντυραννοῦντας αὐτῷ προκαλούμενος.

[138] Cf. *infra* IX 4,2. Maximino intenta llevar a cabo una reforma del paganismo dotándole de una constitución semejante a la de la Iglesia. Lactancio (o.c., 35) nos ofrece una descripción más completa de esta reforma, tan perfectamente calcada de la organización eclesiástica, aunque solamente en su aspecto externo; ciertamente, años más tarde Juliano intentará inyectarle también algo del contenido espiritual: su filantropía y su moralidad: cf. S. FILOSI, *L'ispirazione neoplatonica della persecuzione di Massimino Daia*: Rivista di Storia della Chiesa in Italia 41 (1987) 79-91; R. MAC MULLEN, *Paganism in the Roman empire* (Londres 1981).

[139] Cf. LACTANCIO, o.c., 37.

12 ¿Para qué recordar las torpezas pasionales de aquel hombre o contar la muchedumbre de mujeres que corrompió? De hecho, no pasaba por una ciudad sin cometer adulterios continuamente y raptar doncellas [140].

13 Estas empresas le salían bien con todos, salvo únicamente con los cristianos, que, despreciando la muerte, desdeñaban tamaña tiranía. Los hombres, efectivamente, soportaban el fuego y el hierro, la crucifixión, las fieras y las profundidades del mar, que les amputaran y abrasaran los miembros, que les punzaran los ojos y se los arrancaran; la mutilación, en fin, de todo el cuerpo y, por si fuera poco, el hambre, las minas y las cadenas, mostrándose en todo ello más prestos a padecer por la religión que a dar, en cambio, a los ídolos el culto debido a Dios.

14 Y en cuanto a las mujeres, no menos robustecidas que los hombres por la enseñanza de la doctrina divina, unas soportaron los mismos combates que los hombres y se llevaron iguales premios por su virtud; otras, arrastradas para ser deshonradas, prefirieron entregar su alma a la muerte antes que el cuerpo a la deshonra.

15 Es cierto que, de todas las que fueron violadas por el tirano, solamente una, cristiana y de lo más distinguido e ilustre de Alejandría [141], logró con su firmeza más que varonil vencer al alma apasionada y disoluta de Maximino. Aunque en lo demás era célebre por su riqueza, su linaje y su educación, todo lo posponía a su castidad. Maximino le insistió muchísimo, pero no era capaz de matar a la que ya estaba dispuesta a morir, pues su pasión era

**12** τί δεῖ τὰς ἐμπαθεῖς τἀνδρὸς αἰσχρουργίας μνημονεύειν ἢ τῶν πρὸς αὐτοῦ μεμοιχευμένων ἀπαριθμεῖσθαι τὴν πληθύν; οὐκ ἦν γέ τοι πόλιν αὐτὸν παρελθεῖν μὴ οὐχὶ ἐκ παντὸς φθορὰς γυναικῶν παρθένων τε ἁρπαγὰς εἰργασμένον.

**13** κατὰ πάντων γέ τοι αὐτῷ ταῦτα προυχώρει, μὴ ὅτι μόνων Χριστιανῶν· οἳ θανάτου καταφρονήσαντες παρ' οὐθὲν αὐτοῦ τὴν τοσαύτην ἔθεντο τυραννίδα. οἱ μὲν γὰρ ἄνδρες ἀνατλάντες πῦρ καὶ σίδηρον καὶ προσηλώσεις θῆράς τε ἀγρίους καὶ θαλάττης βυθοὺς ἀποτομάς τε μελῶν καὶ καυτῆρας καὶ ὀφθαλμῶν κεντήσεις τε καὶ ἐξορύξεις καὶ τοῦ παντὸς σώματος ἀκρωτηριασμοὺς λιμόν τε ἐπὶ τούτοις καὶ μέταλλα καὶ δεσμά, ἐπὶ πάντων μᾶλλον ὑπομονὴν τὴν ὑπὲρ εὐσεβείας ἐνεδείξαντο ἢ τὸ σέβας τὸ εἰς θεὸν εἰδώλοις ἀντικατηλλάξαντο·

**14** αἱ δ' αὖ γυναῖκες οὐχ ἧττον τῶν ἀνδρῶν ὑπὸ τῆς τοῦ θείου λόγου διδασκαλίας ἠρρενωμέναι, αἳ μὲν τοὺς αὐτοὺς τοῖς ἀνδράσιν ἀγῶνας ὑποστᾶσαι ἴσα τῆς ἀρετῆς ἀπηνέγκαντο βραβεῖα, αἳ δὲ ἐπὶ φθορὰν ἑλκόμεναι θᾶττον τὴν ψυχὴν θανάτῳ ἢ τὸ σῶμα τῇ φθορᾷ παραδεδώκασιν.

**15** μόνη γοῦν τῶν ὑπὸ τοῦ τυράννου μεμοιχευμένων Χριστιανὴ τῶν ἐπ' Ἀλεξανδρείας ἐπισημοτάτη τε καὶ λαμπροτάτη τὴν ἐμπαθῆ καὶ ἀκόλαστον Μαξιμίνου ψυχήν δι' ἀνδρεωτάτου παραστήματος ἐξενίκησεν, ἔνδοξος μὲν τὰ ἄλλα πλούτῳ τε καὶ γένει καὶ παιδείᾳ, πάντα γε μὴν δεύτερα σωφροσύνης τεθειμένη· ἣν καὶ πολλὰ λιπαρήσας, κτεῖναι μὲν ἑτοίμως θνῄσκειν ἔχουσαν οὐχ οἷός τε ἦν, τῆς ἐπιθυμίας μᾶλλον τοῦ θυμοῦ κατακρα-

[140] Cf. Ibid., 38.
[141] Rufino la llama Dorotea.

más fuerte que su cólera. Entonces la condenó al destierro y le confiscó toda su hacienda.

16 Y otras incomparables mujeres, no pudiendo ni escuchar tan solo amenazas de violación, soportaron por parte de los gobernadores de provincia toda clase de tormentos, de torturas y de suplicios mortales.

Por consiguiente, también éstas fueron admirables. Pero la más extraordinariamente admirable fue aquella mujer de Roma [142], la más noble en verdad y la más casta de todas cuantas el tirano de allí, Majencio, intentara atropellar, imitando a Maximino.

17 Efectivamente, así que se enteró (también ella era cristiana) de que estaban en su casa los que en tales empresas servían al tirano, y que su marido, aunque prefecto de los romanos, por temor había permitido que se la llevaran con ellos, pidió permiso por un momento con el pretexto de arreglarse, y entrando en su habitación, sola, ella misma se clavó una espada y murió al instante. A los que habían de llevarla les dejó su cadáver, pero a todos los hombres presentes y venideros les mostró con sus óptimas obras, más resonantes que toda voz, que lo único invencible e indestructible es la virtud de los cristianos [143].

18 Tal abundancia de maldad se acumuló, efectivamente, en un solo y mismo tiempo por obra de los dos tiranos que habían recibido separadamente Oriente y Occidente. ¿Y quién, si busca la causa de tantos males, podría dudar que los produjo la persecución contra nosotros? Por lo menos este estado de confusión no cesó en modo alguno antes de que los cristianos obtuvieran la libertad.

τούσης αὐτοῦ, φυγῇ δὲ ζημιώσας πάσης ἀφείλετο τῆς οὐσίας.

**16** μυρίαι δὲ ἄλλαι πρὸς τῶν κατ᾽ ἔθνος ἀρχόντων, πορνείας ἀπειλὴν μηδ᾽ ἀκοῦσαι δεδυνημέναι, πᾶν εἶδος βασάνων καὶ στρεβλώσεων καὶ θανατηφόρου κολάσεως ὑπέστησαν. θαυμασταὶ μὲν οὖν καὶ αὗται, ὑπερφυῶς γε μὴν θαυμασιωτάτη ἡ ἐπὶ Ῥώμης εὐγενεστάτη τῷ ὄντι καὶ σωφρονεστάτη γυνὴ πασῶν αἷς ἐμπαροινεῖν ὁ ἐκεῖσε τύραννος Μαξέντιος, τὰ ὅμοια Μαξιμίνῳ δρῶν, ἐπειρᾶτο.

**17** ὡς γὰρ ἐπιστάντας τῷ οἴκῳ τοὺς τὰ τοιαῦτα τῷ τυράννῳ διακονουμένους ἐπύθετο (Χριστιανὴ δὲ καὶ αὕτη ἦν), τόν τε ἄνδρα τὸν αὐτῆς, καὶ ταῦτα Ῥωμαίων ὄντα ἔπαρχον; τοῦ δέους ἕνεκα λαβόντας ἄγειν αὐτὴν ἐπιτρέψαντα, ἐς βραχὺ ὑποπαραιτησαμένη, ὡς ἂν δὴ κατακοσμηθείη τὸ σῶμα, εἴσεισιν ἐπὶ τοῦ ταμιείου καὶ μονωθεῖσα ξίφος καθ᾽ ἑαυτῆς πήγνυσιν, θανοῦσά τε παραχρῆμα, τὸν μὲν νεκρὸν τοῖς προαγωγοῖς καταλιμπάνει, ἔργοις δ᾽ αὐτοῖς ἁπάσης φωνῆς γεγωνοτέροις, ὅτι μόνον χρημάτων ἀήττητόν τε καὶ ἀνώλεθρον ἡ παρὰ Χριστιανοῖς ἀρετὴ πέφυκεν, εἰς πάντας ἀνθρώπους τούς τε νῦν ὄντας καὶ τοὺς πετὰ ταῦτα γενησομένους ἐξέφηνεν.

**18** τοσαύτη δῆτα κακίας φορὰ ὑφ᾽ ἕνα καὶ τὸν αὐτὸν συνηνέχθη καιρὸν πρὸς τῶν δύο τυράννων ἀνατολὴν καὶ δύσιν διειληφότων κατεργασθεῖσα· τίς δ᾽ ἂν τὴν τῶν τοσούτων διερευνώμενος αἰτίαν διστάξαι μὴ οὐχὶ τὸν καθ᾽ ἡμῶν διωγμὸν ἀποφήνασθαι; ὅτε γε μάλιστα οὐ πρότερον τὰ τῆς τοσῆσδε πέπαυτο συγχύσεως ἢ Χριστιανοὺς τὰ τῆς παρρησίας ἀπολαβεῖν.

142 Rufino la llama Sofronia.

143 Cf. Eusebio, VC 1,34.

## 15

[De lo acontecido a los de fuera]

1 El hecho es que, durante todo el decenio que duró la persecución [144], no dejaron de conspirar y de hacerse la guerra mutuamente. Los mares eran innavegables, y los que desembarcaban de dondequiera que fuese, no podían escapar de ser sometidos a toda clase de malos tratos: les retorcían sobre el potro y les desgarraban los costados, mientras les interrogaban entre torturas de toda especie si no procedían del bando enemigo; y, por último, les sometían al suplicio de la cruz o del fuego.

2 Además de esto, por todas partes se fabricaban y se preparaban escudos y corazas, dardos, lanzas y demás instrumentos de guerra, así como trirremes y armas navales. Nadie podía ya esperar cada día otra cosa que un ataque de los enemigos. Y, por si fuera poco, también el hambre y la peste subsiguientes se abatieron sobre ellos; pero de esto ya contaremos lo necesario a su tiempo [145].

## 16

[Del cambio y mejoramiento de los asuntos]

1 Tal era la situación a lo largo de toda la persecución, que, con la ayuda de la gracia de Dios, el décimo año [146] estaba ya completamente acabada, aunque de hecho había ya comenzado a ceder

ΙΕ'

1 Διὰ παντός γέ τοι τοῦ κατὰ τὸν διωγμὸν δεκαέτους χρόνου τῶν εἰς ἐπιβουλὴν καὶ πόλεμον τὸν κατ' ἀλλήλων οὐδὲν αὐτοὺς διαλέλοιπεν. ἄπλωτα μὲν τὰ κατὰ θάλατταν ἦν οὐδ' ἐξῆν ποθεν καταπλεύσαντας μὴ οὐχὶ πάσαις αἰκίαις ὑπάγεσθαι στρεβλουμένους καὶ τὰς πλευρὰς καταξαινομένους βασάνοις τε παντοίαις, μὴ ἄρα παρὰ τῶν δι' ἐναντίας ἐχθρῶν ἥκοιεν, ἀνακρινομένους καὶ τέλος σταυροῖς ἢ τῇ διὰ πυρὸς ὑπαγομένους κολάσει·

2 ἀσπίδων ἐπὶ τούτοις καὶ θωρήκων παρασκευαὶ βελῶν τε καὶ δοράτων καὶ τῆς ἄλλης πολεμικῆς παρατάξεως ἑτοιμασίαι τριήρων τε καὶ τῶν κατὰ ναυμαχίαν ὅπλων κατὰ πάντα συνεκροτοῦντο τόπον οὐδ' ἦν ἄλλο τι παντί τῷ προσδοκᾶν ἢ πολέμων κατὰ πᾶσαν ἔφοδον ἡμέραν. τούτοις καὶ ὁ μετὰ ταῦτα λιμός τε καὶ λοιμὸς ἐγκατασκήπτει, περὶ ὧν κατὰ καιρὸν ἱστορήσομεν τὰ δέοντα.

ΙϚ'

1 Τοιαῦτ' ἦν τὰ διὰ παντὸς τοῦ διωγμοῦ παρατετακότα, δεκάτῳ μὲν ἔτει

144 Duró efectivamente un decenio, pero no de manera continua; tampoco se dio por igual en todas partes; ya hemos visto que la parte occidental del Imperio apenas padeció persecución.

145 Cf. *infra* IX 8.

146 El décimo año corresponde al 313. Seguramente sustituye a una redacción anterior, donde habría escrito «octavo»; cf. Lawlor, *Eusebiana* p.277.

después del octavo [147]. Efectivamente, así que la gracia divina y celestial comenzó a mostrar una preocupación benévola y propicia por nosotros, también nuestros gobernantes, aquellos mismos, ciertamente, que nos habían hecho la guerra, mudaron milagrosamente de pensamiento y cantaron la palinodia [148], extinguiendo mediante edictos favorables y órdenes llenas de suavidad la hoguera de la persecución, que tal amplitud había alcanzado.

2 Pero la causa de este cambio no fue algo propio de los hombres ni, como alguien podría decir, compasión o humanidad de los gobernantes, ni mucho menos, puesto que ellos mismos eran los que cada día, desde el comienzo hasta ese momento, imaginaban más y peores suplicios contra nosotros, renovando constantemente, unas veces de una manera y otras de otra, con variadas invenciones, los malos tratos que se nos infligía. Fue más bien una evidente visita de la misma providencia divina, que reconcilió al pueblo consigo, atacó al perpetrador de nuestros males [149] y descargó [150] su ira sobre el cabecilla de la maldad y de toda la persecución,

3 ya que, si bien esto había de ocurrir por juicio de Dios, no obstante, la Escritura dice: *¡Ay de aquel por quien venga el escándalo!* [151] Le alcanzó, pues, un castigo divino que, comenzando por su misma carne, avanzó incluso hasta su alma.

4 Efectivamente, de repente le salió un absceso en medio de las partes secretas de su cuerpo, y luego una llaga fistulosa en pro-

σὺν θεοῦ χάριτι παντελῶς πεπαυμένου, λωφᾶν γε μὴν μετ' ὄγδοον ἔτος ἐναρξαμένου. ὡς γὰρ τὴν εἰς ἡμᾶς ἐπισκοπὴν εὐμενῆ καὶ ἵλεω ἡ θεία καὶ οὐράνιος χάρις ἐνεδείκνυτο, τότε δῆτα καὶ οἱ καθ' ἡμᾶς ἄρχοντες, αὐτοὶ δὴ ἐκεῖνοι δι' ὧν πάλαι τὰ τῶν καθ' ἡμᾶς ἐνηργεῖτο πολέμων, παραδοξότατα μεταθέμενοι τὴν γνώμην, παλινῳδίαν ᾖδον χρηστοῖς περὶ ἡμῶν προγράμμασιν καὶ διατάγμασιν ἡμερωτάτοις τὴν ἐπὶ μέγα ἀφθεῖσαν τοῦ διωγμοῦ πυρκαϊὰν σβεννύντες.

2 οὐκ ἀνθρώπινον δέ τι τούτου κατέστη αἴτιον οὐδ' οἶκτος, ὡς ἂν φαίη τις, ἢ φιλανθρωπία τῶν ἀρχόντων· πολλοῦ δεῖ· πλείω γὰρ ὁσημέραι καὶ χαλεπώτερα ἀρχῆθεν καὶ εἰς ἐκεῖνο τοῦ καιροῦ τὰ καθ' ἡμῶν αὐτοῖς ἐπενοεῖτο, ποικιλωτέραις μηχαναῖς ἄλλοτε ἄλλως τὰς καθ' ἡμῶν αἰκίας ἐπικαινουργούντων· ἀλλ' αὐτῆς γε τῆς θείας προνοίας ἐμφανὴς ἐπίσκεψις, τῷ μὲν αὐτῆς καταλλαττομένης λαῷ, τῷ δ' αὐθέντῃ τῶν κακῶν ἐπεξιούσης, καὶ πρωτοστάτῃ τῆς τοῦ παντὸς διωγμοῦ κακίας ἐπιχολουμένης.

3 καὶ γὰρ εἴ τι ταῦτ' ἐχρῆν κατὰ θείαν γενέσθαι κρίσιν, ἀλλὰ «οὐαί», φησὶν ὁ λόγος, «δι' οὗ δ᾽ ἂν τὸ σκάνδαλον ἔρχηται». μέτεισιν δ' οὖν αὐτὸν θεήλατος κόλασις, ἐξ αὐτῆς αὐτοῦ καταρξαμένη σαρκὸς καὶ μέχρι τῆς ψυχῆς προελθοῦσα.

4 ἀθρόα μὲν γὰρ περὶ τὰ μέσα τῶν ἀπορρήτων τοῦ σώματος ἀπόστασις αὐτῷ γίνεται, εἶθ' ἕλκος ἐν βάθει συριγ-

[147] Es decir, a partir del edicto de tolerancia de 311.
[148] Eusebio tiene que referirse solamente a Galerio y Maximino; la frase no puede aplicarse a Constantino y Licinio. La «palinodia» es el llamado «edicto de tolerancia» (cf. *infra* 17, 3-10), en que Galerio tiene que reconocer el fracaso de su política persecutoria.
[149] Galerio.
[150] Desde «y descargó», hasta «el escándalo»—ya en el párrafo 3—aparece en los Mss ATER como resto de una edición anterior; los demás lo omiten.
[151] Lc 17,1.

fundidad. Sin posible curación, le fueron corroyendo hasta lo más hondo de las entrañas. De allí brotaba un hervidero de gusanos y exhalaba un hedor mortal, ya que la masa de sus carnes, producida por la abundancia de alimento y transformada ya antes de la enfermedad en una cantidad excesiva de grasa, al pudrirse entonces, ofrecía el aspecto más insoportable y espantoso a los que se acercaban.

5 De los médicos, unos, incapaces en absoluto de soportar la exagerada enormidad del hedor, eran degollados; otros, sin poder ayudarle en nada por estar hinchada toda la masa y no caber ya esperanza de salvación, eran asesinados sin piedad [152].

## 17

### [De la palinodia de los soberanos]

1 Luchando contra males tan grandes, se dio cuenta de las atrocidades que había osado cometer contra los adoradores de Dios y, en consecuencia, recogiendo en sí su pensamiento, primeramente confesó al Dios del universo y luego, llamando a los de su séquito, dio órdenes de que, sin diferirlo un momento, hicieran cesar la persecución contra los cristianos y que, mediante una ley y un decreto imperiales, les dieran prisa para que construyeran sus iglesias y practicaran el culto acostumbrado, ofreciendo oraciones por el emperador [153].

2 Inmediatamente, pues, las obras siguieron a las palabras, y por

γῶδες καὶ τούτων ἀνίατος νομὴ κατὰ τῶν ἐνδοτάτω σπλάγχνων· ἀφ' ὧν ἄλεκτόν τι πλῆθος σκωλήκων βρύειν θανατῶδη τε ὀδμὴν ἀποπνεῖν, τοῦ παντὸς ὄγκου τῶν σωμάτων ἐκ πολυτροφίας αὐτῷ καὶ πρὸ τῆς νόσου εἰς ὑπερβολὴν πλήθους πιμελῆς μεταβεβληκότος, ἣν τότε κατασαπεῖσαν ἀφόρητον καὶ φρικτοτάτην τοῖς πλησιάζουσιν παρέχειν τὴν θέαν.

5 ἰατρῶν δ' οὖν οἳ μέν, οὐδ' ὅλως ὑπομεῖναι τὴν τοῦ δυσώδους ὑπερβάλλουσαν ἀτοπίαν οἷοί τε, κατεσφάττοντο, οἳ δὲ διῳδηκότος τοῦ παντὸς ὄγκου καὶ εἰς ἀνέλπιστον σωτηρίας ἀποπεπτωκότος μηδὲν ἐπικουρεῖν δυνάμενοι, ἀνηλεῶς ἐκτείνοντο.

ΙΖ'

1 καὶ δὴ τοσούτοις παλαίων κακοῖς συναίσθησιν τῶν κατὰ τῶν θεοσεβῶν αὐτῷ τετολμημένων ἴσχει, συναγαγὼν δ' οὖν εἰς ἑαυτὸν τὴν διάνοιαν, πρῶτα μὲν ἀνθομολογεῖται τῷ τῶν ὅλων θεῷ, εἶτα τοὺς ἀμφ' αὐτὸν ἀνακαλέσας, μηδὲν ὑπερθεμένους τὸν κατὰ Χριστιανῶν ἀποπαῦσαι διωγμὸν νόμῳ τε καὶ δόγματι βασιλικῷ τὰς ἐκκλησίας αὐτῶν οἰκοδομεῖν ἐπισπέρχειν καὶ τὰ συνήθη διαπράττεσθαι, εὐχὰς ὑπὲρ τοῦ βασιλείου ποιουμένους, προστάττει.

2 αὐτίκα γοῦν ἔργου τῷ λόγῳ παρηκολουθηκότος, ἥπλωτο κατὰ πόλεις βασι-

152 Cf. Eusebio, VC 1,57; Lactancio, *De mort. pers.* 33; A. Victor, *Caes.* 11,9; *Epist.* 40, 4,5. La enfermedad debió de comenzar en abril de 310, puesto que pasó un año antes de promulgar el edicto de tolerancia, 30 de abril del 311.

153 Cf. Eusebio, VC 1,57.

todas las ciudades se divulgó un edicto que contenía la palinodia de lo hecho con nosotros, en los términos siguientes [154]:

3 «El Emperador César Galerio Valerio Maximiano, Augusto Invicto, Pontífice Máximo, Germánico Máximo, Egipcio Máximo, Tebeo Máximo, Sármata Máximo cinco veces, Persa Máximo dos veces, Carpo Máximo seis veces, Armenio Máximo, Medo Máximo, Adiabeno Máximo, Tribuno de la Plebe veinte veces, Imperator diecinueve veces, Cónsul ocho veces, Padre de la Patria, Procónsul;

4 »y el Emperador César Flavio Valerio Constantino Augusto Pío Félix Invicto, Pontífice Máximo, Tribuno de la Plebe, Imperator cinco veces, Cónsul, Padre de la Patria, Procónsul;

5 »y el Emperador César Valerio Liciniano Licinio [155] Augusto Pío Félix, Invicto, Pontífice Máximo, Tribuno de la Plebe cuatro veces, Imperator tres veces, Cónsul, Padre de la Patria, Procónsul, a los habitantes de sus propias provincias, salud.

6 »Entre las otras medidas que hemos tomado [156] para utilidad y provecho del Estado, ya anteriormente fue voluntad nuestra enderezar todas las cosas conforme a las antiguas leyes y orden público de los romanos y proveer a que también los cristianos, que tenían

λικὰ διατάγματα, τὴν παλινῳδίαν τῶν καθ' ἡμᾶς τοῦτον περιέχοντα τὸν τρόπον

3 «Αὐτοκράτωρ Καῖσαρ Γαλέριος Οὐαλέριος Μαξιμιανὸς ἀνίκητος Σεβαστός, ἀρχιερεὺς μέγιστος, Γερμανικὸς μέγιστος, Αἰγυπτιακὸς μέγιστος, Θηβαϊκὸς μέγιστος, Σαρματικὸς μέγιστος πεντάκις, Περσῶν μέγιστος δίς, Κάρπων μέγιστος ἑξάκις, Ἀρμενίων μέγιστος, Μήδων μέγιστος, Ἀδιαβηνῶν μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ εἰκοστόν, αὐτοκράτωρ τὸ ἐννεακαιδέκατον, ὕπατος τὸ ὄγδοον, πατὴρ πατρίδος, ἀνθύπατος·

4 »καὶ Αὐτοκράτωρ Καῖσαρ Φλαύιος Οὐαλέριος Κωνσταντῖνος εὐσεβὴς εὐτυχὴς ἀνίκητος Σεβαστός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας, αὐτοκράτωρ τὸ πέμπτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος.

5 »καὶ Αὐτοκράτωρ Καῖσαρ Οὐαλέριος Λικιννιανὸς Λικίννιος εὐσεβὴς εὐτυχὴς ἀνίκητος Σεβαστός, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ τέταρτον, αὐτοκράτωρ τὸ τρίτον, ὕπατος, πατὴρ πατρίδος, ἀνθύπατος, ἐπαρχιώταις ἰδίοις χαίρειν.

6 »Μεταξὺ τῶν λοιπῶν, ἅπερ ὑπὲρ τοῦ χρησίμου καὶ λυσιτελοῦς τοῖς δημοσίοις διατυπούμεθα, ἡμεῖς μὲν βεβουλήμεθα πρότερον κατὰ τοὺς ἀρχαίους νόμους καὶ τὴν δημοσίαν ἐπιστήμην τὴν τῶν Ῥωμαίων ἅπαντα ἐπανορθώσασθαι καὶ τούτου πρόνοιαν ποιήσασθαι ἵνα καὶ οἱ Χριστιανοί, οἵτινες τῶν γονέων τῶν ἑαυτῶν καταλελοίπασιν τὴν αἵρεσιν, εἰς ἀγαθὴν πρόθεσιν ἐπανέλθοιεν·

154 Según Lactancio (o.c., 35), Galerio hizo publicar el edicto en Nicomedia el 30 de abril de 311, muriendo él a los pocos días, el 5 de mayo, en Sárdica. El mismo Lactancio (o.c., 34) nos ha conservado el texto latino del edicto, sin el encabezamiento previo que nos da Eusebio, aunque revisado y corregido.

155 Este párrafo 5, referente a Licinio, aparece solamente en los Mss ATER; los demás lo omiten. El hecho de la omisión responde a la «damnatio memoriae» a que Eusebio condena a Licinio en su última edición. Vemos también que no aparecen el nombre y títulos de Maximino Daza, que debieran seguir al nombre y títulos de Galerio (el edicto tenían que firmarlo los cuatro; cf. Lactancio, *De mort. pers.* 15). Eusebio lo elimina ya en la primera edición, por causa de su negativa a hacer efectivo el edicto en sus dominios; cf. Lactancio, o.c., 36.

156 Naturalmente, hablan los cuatro firmantes, pero las medidas fueron tomadas por los primeros tetrarcas, de los cuales solamente Galerio pervive.

abandonada la secta de sus antepasados [157], volviesen al buen propósito.

7 »Porque, debido a algún especial razonamiento, es tan grande la ambición que los retiene y la locura que los domina [158], que no siguen lo que enseñaron los antiguos [159], lo mismo que tal vez sus propios progenitores establecieron anteriormente, sino que, según el propio designio y la real gana de cada cual, se hicieron leyes para sí mismos, y éstas guardan, habiendo logrado reunir muchedumbres diversas en diversos lugares.

8 »Por tal causa, cuando a ello siguió una orden nuestra de que se cambiasen a lo establecido por los antiguos, un gran número estuvo sujeto a peligro, y otro gran número se vio perturbado y sufrió toda clase de muertes [160].

9 »Mas como la mayoría persistiera en la misma locura [161] y viéramos que ni rendían a los dioses celestes el culto debido ni atendían al de los cristianos, fijándonos en nuestra benignidad y en nuestra constante costumbre de otorgar perdón a todos los hombres, creímos que era necesario extender también de la mejor gana al presente caso nuestra indulgencia, para que de nuevo haya cristianos y reparen los edificios en que se reunían, de tal manera que no practiquen nada contrario al orden público [162]. Por medio de otra carta mostraré a los jueces [163] lo que deberán observar.

7 »ἐπείπερ τινὶ λογισμῷ τοσαύτη αὐτοὺς πλεονεξία κατεσχήκει καὶ ἄνοια κατειλήφει ὡς μὴ ἕπεσθαι τοῖς ὑπὸ τῶν πάλαι καταδειχθεῖσιν, ἅπερ ἴσως πρότερον καὶ οἱ γονεῖς αὐτῶν ἦσαν καταστήσαντες, ἀλλὰ κατὰ τὴν αὐτῶν πρόθεσιν καὶ ὡς ἕκαστος ἐβούλετο, οὕτως ἑαυτοῖς καὶ νόμους ποιῆσαι καὶ τούτους παραφυλάσσειν καὶ ἐν διαφόροις διάφορα πλήθη συνάγειν.

8 »τοιγαροῦν τοιούτου ὑφ' ἡμῶν προστάγματος παρακολουθήσαντος ὥστε ἐπὶ τὰ ὑπὸ τῶν ἀρχαίων κατασταθέντα ἑαυτοὺς μεταστήσαιεν, πλεῖστοι μὲν κινδύνῳ ὑποβληθέντες, πλεῖστοι δὲ ταραχθέντες παντοίους θανάτους ὑπέφερον·

9 »καὶ ἐπειδὴ τῶν πολλῶν τῃ αὐτῇ ἀπονοίᾳ διαμενόντων ἑωρῶμεν μήτε τοῖς θεοῖς τοῖς ἐπουρανίοις τὴν ὀφειλομένην θρησκείαν προσάγειν αὐτοὺς μήτε τῷ τῶν Χριστιανῶν προσέχειν, ἀφορῶντες εἰς τὴν ἡμετέραν φιλανθρωπίαν καὶ τὴν διηνεκῆ συνήθειαν δι' ἧς εἰώθαμεν ἅπασιν ἀνθρώποις συγγνώμην ἀπονέμειν, προθυμότατα καὶ ἐν τούτῳ τὴν συγχώρησιν τὴν ἡμετέραν ἐπεκτεῖναι δεῖν ἐνομίσαμεν, ἵνα αὖθις ὦσιν Χριστιανοὶ καὶ τοὺς οἴκους ἐν οἷς συνήγοντο, συνθῶσιν οὕτως ὥστε μηδὲν ὑπεναντίον τῆς ἐπιστήμης αὐτοὺς πράττειν. δι' ἑτέρας δὲ ἐπιστολῆς τοῖς δικασταῖς δηλώσομεν τί αὐτοὺς παραφυλάξασθαι δεήσει·

157 Es decir, el paganismo, o mejor, la religión del Imperio (cf. *infra* IX 1,3) o lo que en los párrafos 7-8 llaman—en el latín original—«veterum instituta»; cf. LACTANCIO, o.c., 34; EUSEBIO, PE 1,2,2; 4,1,2-4.

158 Las palabras «y la locura que los domina» sólo están en ATER.

159 En latín: «veterum instituta».

160 El latín de Lactancio dice solamente: «multi periculo subiugati, multi etiam deturbati sunt»; Eusebio debió de cambiarlo en su última edición.

161 «In proposito», según el latín.

162 El latín transmitido por Lactancio dice: «ut denuo sint christiani [¿eco del supuesto *institutum Neronianum*, interpretado por Tertuliano —*Ad Nat.* I 7,9: *Apol.*IV 4— como *Non licet esse nos?*], et conventicula sua componant...»: Galerrio reconoce, pues, como legal la existencia de cristianos, y al cristianismo como «religio licita», y no ya como «superstitio illicita» (Suetonio, *Nero* 16, 38 y 39).

163 Esta carta, dirigida a los jueces (éste es otro título con que se designa a los «praesides»

10 »En consecuencia, a cambio de esta indulgencia nuestra, deberán rogar a su Dios por nuestra salvación, por la del Estado y por la suya propia, con el fin de que, por todos los medios [164], el Estado se mantenga sano y puedan ellos vivir tranquilos en sus propios hogares» [165].

11 Tal era el tenor de este edicto escrito en lengua latina y traducido en lo posible al griego [166]. Qué ocurrió después de esto, tiempo es de examinarlo.

**10** »ὅθεν κατὰ ταύτην τὴν συγχώρησιν τὴν ἡμετέραν ὀφείλουσιν τὸν ἑαυτῶν θεὸν ἱκετεύειν περὶ τῆς σωτηρίας τῆς ἡμετέρας καὶ τῶν δημοσίων καὶ τῆς ἑαυτῶν, ἵνα κατὰ πάντα τρόπον καὶ τὰ δημόσια παρασχεθῇ ὑγιῆ καὶ ἀμέριμνοι ζῆν ἐν τῇ ἑαυτῶν ἑστίᾳ δυνηθῶσι».

**11** ταῦτα κατὰ τὴν 'Ρωμαίων φωνήν, ἐπὶ τὴν 'Ελλάδα γλῶτταν κατὰ τὸ δυνατὸν μεταληφθέντα, τοῦτον εἶχεν τὸν τρόπον. τί δὴ οὖν ἐπὶ τούτοις γίνεται, ἐπιθεωρῆσαι καιρός.

o gobernadores civiles) de las provincias se ha perdido. Por las referencias que encontramos *infra* X 5,3.6, el tenor de la misma condicionaba seriamente las libertades aquí otorgadas: de hecho las suprimía.

164 El latín da «undiqueversum» (πάντα τόπον), en vez de τρόπον.

165 Para Eusebio, este párrafo es una auténtica confesión o reconocimiento de Dios; cf. *supra* § 1; *infra* apend.1.

166 Cf. sobre el mismo, K. BIHLMEYER, *Das Toleranzedikt des Galerius:* Theologische Quartalschrift 94 (1912) 411-427; 527-552; J. B. KNIPFING, *The Edict of Galerius (311 A. D.) reconsidered:* Revue belge de Philologie et d'Histoire 1 (1922) 693-705.

# *APENDICE AL LIBRO VIII*[167]

1 Ahora bien, el autor de este edicto[168], después de semejante confesión[169], quedó inmediatamente libre de los dolores, aunque no para mucho tiempo, y murió[170]. Una tradición dice que éste fue el primer causante de la calamidad de la persecución[171]. Ya de antiguo, antes de que los demás emperadores se moviesen, había él forzado a cambiar de parecer a los cristianos que estaban en el ejército y, desde luego, comenzando por los que estaban en su casa. A unos los removió de la dignidad militar, a otros los vejó de la manera más indigna y a otros incluso ya les conminó con la muerte. Por último, indujo a sus socios imperiales a la persecución contra todos. No está bien que silenciemos el final que éstos tuvieron[172].

2 Fueron, pues, cuatro los que se habían repartido el gobierno supremo[173]. Los que por el tiempo y por los honores tenían la precedencia[174], cuando aún no se habían cumplido los dos años de iniciarse la persecución, se retiraron del mando, como ya hemos explicado arriba[175]. Y después de pasar el resto de sus vidas como simples personas privadas, tuvieron el fin siguiente:

3 El que por los honores y por la edad ocupaba el primer lugar,

[Apéndice]

**1** Ἀλλ' ὁ μὲν τῆς γραφῆς αἴτιος μετὰ τὴν τοιάνδε ὁμολογίαν αὐτίκα καὶ οὐκ εἰς μακρὸν τῶν ἀλγηδόνων ἀπαλλαγεὶς μεταλλάττει τὸν βίον. τοῦτον δὴ λόγος ἔχει πρῶτον αἴτιον τῆς τοῦ διωγμοῦ καταστῆναι συμφορᾶς, ἔτι πάλαι πρὸ τῆς τῶν λοιπῶν βασιλέων κινήσεως τοὺς ἐν στρατείαις Χριστιανοὺς καὶ πρώτους γε ἁπάντων τοὺς ἐπὶ τοῦ ἰδίου οἴκου παρατρέπειν ἐκβεβιασμένον καὶ τοὺς μὲν ἐκ τῆς στρατιωτικῆς ἀξίας ἀποκινοῦντα, τοὺς δὲ ἀτιμότατα καθυβρίζοντα, ἤδη δὲ καὶ θάνατον ἑτέροις ἐπαρτῶντα καὶ τοὔσχατόν γε τοὺς τῆς βασιλείας κοινωνοὺς ἐπὶ τὸν κατὰ πάντων ἀνακεκινηκότα διωγμόν· ὧν καὶ αὐτῶν οὐκ ἄξιον τὸ τοῦ βίου τέλος παραδοῦναι σιωπῇ.

**2** τεττάρων οὖν τὴν κατὰ πάντων διειληχότων ἀρχήν, οἱ μὲν χρόνῳ καὶ τιμῇ προηγούμενοι οὐδ' ὅλοις δυεῖν ἔτεσιν ἐπιγενόμενοι τῷ διωγμῷ μεθίστανται τῆς βασιλείας, ᾗ καὶ πρόσθεν ἡμῖν δεδήλωται, καὶ δὴ τὸν ἐπίλοιπον τοῦ βίου χρόνον δημώδει καὶ ἰδιωτικῷ τρόπῳ διαγενόμενοι τέλος τοιόνδε τῆς ζωῆς εἰλήχασιν,

**3** ὁ μὲν τιμῇ τε καὶ χρόνῳ τῶν πρωτείων ἠξιωμένος μακρᾷ καὶ ἐπιλυποτάτῃ

[167] Este *Apéndice*, resto de la primera edición, se ha conservado solamente en los Mss AER cf. R. Laqueur, o.c., p.76-84. El Ms A lo introduce con estas palabras: τὸ ὡς λεῖπον ἔν τισιν ἀντιγράφοις ἐν τῷ η' λόγῳ; el Ms E, con estas otras: τινὰ τῶν ἀντιγράφων ἐν τοῖς τελευταίοις τοῦ τόμου τούτου περιέχει καὶ ταῦτα· οὐχ ὡς λίποντα ἀλλ' ὡς ἐν ἄλλοις ἀντιγράφοις εὑρεθέντα κατὰ διάφορον φράσεως τρόπον; cf. T. Christensen, *The so-called «Appendix» to Eusebius' «Historia Ecclesiastica» VIII:* Classica et Mediaevalia 34 (1983) 177-209.

[168] Galerio, autor del edicto de tolerancia transcrito *supra* VIII 17,3-10.

[169] Cf. *supra* VIII 17,10.

[170] Cf. *supra* VIII 17,2.

[171] Cf. Lactancio, *De mort. pers.* 11ss.

[172] Cf. *supra* VIII 4,1-4; Lactancio, o.c., 10.

[173] Diocleciano y Maximiano como augustos; Galerio y Constancio Cloro como césares.

[174] Diocleciano y Maximiano.

[175] Cf. *supra* VIII 13,10-11; Lactancio, o.c., 18.

acabó minado por una larga y penosísima enfermedad corporal [176]; y el que tras él ocupaba el segundo puesto, truncó su vida ahorcándose [177]; y esto lo sufrió, según divina profecía, por causa de los numerosísimos crímenes que había perpetrado.

4 Y de los que seguían a éstos, el último, del que ya dijimos que fue, efectivamente, el causante de toda la persecución [178], padeció males tan grandes como los ya mencionados anteriormente [179]. En cambio, el que precedía a éste, a saber, el benignísimo y suavísimo emperador Constancio [180], que pasó todo el tiempo de su gobierno de una manera digna del principado y que, en lo demás, se mostró el más favorable y el más bienhechor para con todos, después de mantenerse al margen de la guerra contra nosotros, habiendo guardado libres de daño y de vejámenes a los hombres religiosos súbditos suyos y no habiendo destruido los edificios de las iglesias [181] ni emprendido lo más mínimo contra nosotros, recibió a cambio un final de su vida realmente feliz y triplemente dichosa, pues fue el único en morir feliz y gloriosamente en el ejercicio de su cargo imperial y dejando como sucesor en él a su hijo legítimo, en todo prudentísimo y religiosísimo.

5 Este fue inmediatamente proclamado por las legiones emperador perfectísimo y augusto, y se constituyó en imitador de la

τῇ τοῦ σώματος ἀσθενείᾳ διεργασθείς, ὁ δὲ τὰ δεύτερα αὐτοῦ φέρων ἀγχόνῃ τὴν ζωὴν ἀπορρήξας, κατά τινα δαιμονίαν προσημείωσιν τοῦτο παθὼν διὰ πλείστας αὐτῷ τετολμημένας ῥᾳδιουργίας.

4 τῶν δὲ μετὰ τούτους ὁ μὲν ὕστατος, ὃν δὴ καὶ ἀρχηγὸν τοῦ παντὸς ἔφαμεν γεγονέναι διωγμοῦ, τοιαῦτα οἷα καὶ προδεδηλώκαμεν πέπονθεν, ὁ δὲ τοῦτον προάγων χρηστότατος καὶ ἠπιώτατος βασιλεὺς Κωνστάντιος, ἐπαξίως τῆς ἡγεμονίας τὸν ἅπαντα τῆς ἀρχῆς διατελέσας χρόνον [ἀλλὰ] καὶ τἆλλα τοῖς πᾶσι δεξιώτατον καὶ εὐεργετικώτατον παρασχὼν ἑαυτόν, ἀτὰρ καὶ τοῦ καθ' ἡμῶν πολέμου ἔξω γενόμενος καὶ τοὺς ὑπ' αὐτὸν θεοσεβεῖς ἀβλαβεῖς καὶ ἀνεπηρεάστους διαφυλάξας καὶ μήτε τοὺς οἴκους τῶν ἐκκλησιῶν καθελὼν μήθ' ἕτερόν τι μηδ' ὅλως καθ' ἡμῶν ἐπικαινουργήσας, τέλος εὔδαιμον καὶ τρισμακάριον ὄντως ἀπείληφεν τοῦ βίου, μόνος ἐπὶ τῆς αὐτοῦ βασιλείας εὐμενῶς καὶ ἐπιδόξως ἐπὶ διαδόχῳ τῆς βασιλείας γνησίῳ παιδὶ τὰ πάντα σωφρονεστάτῳ καὶ εὐσεβεστάτῳ τελευτήσας·

5 ὃς εὐθὺς ἀρχόμενος βασιλεὺς τελεώτατος καὶ Σεβαστὸς πρὸς τῶν στρατοπέδων ἀναγορευθείς, ζηλωτὴν ἑαυτὸν τῆς πατρικῆς περὶ τὸν ἡμέτερον λόγον εὐσεβείας κατεστήσατο. τοιαύτη τῶν προαναγεγραμμένων τεττάρων ἡ τοῦ βίου ἔκβασις, κατὰ παρηλλαγμένους χρόνους γεγενημένη.

176 Se trata de Diocleciano; *supra* VIII 13,11; cf. LACTANCIO, o.c., 17. No se hace la menor indicación de la fecha de su muerte, que tuvo lugar nueve años después de su abdicación; cf. L. HOMO, *Nueva Historia de Roma* (Barcelona 1943) p.366.

177 Se refiere a Maximiano. En VIII 13,15 no se da este detalle, que, sin embargo, encontramos en LACTANCIO, *De mort. pers.* 30; cf. A. VICTOR, *Caes.* 40,21.

178 Es decir, Galerio; cf. O. NICHOLSON, *The wild man of the tetrarchy. A divine companion for the emperor Galerius*: Byzantion 54 (1984) 253-275.

179 Se refiere a un contexto perdido, y seguramente a *supra* VIII 16,3-5.

180 Cf. *supra* VIII 13,12-14.

181 Precisamente Constancio, al aplicar el edicto de 303 en sus dominios, se limitó a destruir algunas iglesias, aunque, eso sí, por mero trámite burocrático que le ponía al abrigo de la acusación de desobediencia; cf. LACTANCIO, *De mort. pers.* 15.

piedad paterna para con nuestra doctrina [182]. Tal fue la muerte de los cuatro susodichos ocurrida en tiempos diferentes.

6 De éstos, el único que todavía vivía, el mencionado un poco más arriba, junto con los que después de esto fueron introducidos en el gobierno [183], hizo pública ante todos la confesión arriba mencionada, mediante el edicto que ya expusimos antes.

**6** τούτων δὴ μόνος ἔτι λείπων ὁ μικρῷ πρόσθεν ἡμῖν εἰρημένος σὺν τοῖς μετὰ ταῦτα εἰς τὴν ἀρχὴν εἰσποιηθεῖσι τὴν προδεδηλωμένην ἐξομολόγησιν διὰ τοῦ προεκτεθέντος ἐγγράφου λόγου τοῖς πᾶσι φανερὰν κατεστήσαντο.

[182] Cf. *supra* VIII 13,12-14.

[183] Galerio, único superviviente de la primera tetrarquía, y Maximino, Constantino y Licinio, los cuatro que firmaron el edicto; cf. *supra* VIII 17,5 nota 155.

# *LIBRO NOVENO*

El libro noveno de la *Historia eclesiástica* contiene lo siguiente:


1. De la fingida distensión.
2. Del posterior empeoramiento.
3. De la estatua recién erigida en Antioquía.
4. De las decisiones votadas contra nosotros.
5. De las *Memorias* fingidas.
6. De los que en este tiempo sufrieron martirio.
7. Del edicto contra nosotros fijado en las columnas.
8. De los acontecimientos que siguieron entre hambre, peste y guerras.
9. De la muerte catastrófica de los tiranos[1] y palabras que pronunciaron antes de morir.

[10. De la victoria de los emperadores amigos de Dios][2].

11. De la destrucción final de los enemigos de la religión.


## Θ'

Τάδε καὶ ἡ ἐνάτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας


Α' Περὶ τῆς ἐπιπλάστου ἀνέσεως.
Β' Περὶ τῆς μετέπειτα διαστροφῆς.
Γ' Περὶ τοῦ κατὰ Ἀντιόχειαν νεοπαγοῦς ξοάνου.
Δ' Περὶ τῶν καθ' ἡμῶν ψηφισμάτων.
Ε' Περὶ τῶν ἐπιπλάστων ὑπομνημάτων.
ς' Περὶ τῶν ἐν τῷδε τῷ χρόνῳ μεμαρτυρηκότων.
Ζ' Περὶ τῆς καθ' ἡμῶν ἐν στήλαις ἀνατεθείσης γραφῆς.
Η' Περὶ τῶν μετὰ ταῦτα συμβεβηκότων ἐν λιμῷ καὶ λοιμῷ καὶ πολέμοις.
Θ' Περὶ τῆς τῶν τυράννων καταστροφῆς τοῦ βίου, καὶ οἵαις ἐχρήσαντο πρὸ τῆς τελευτῆς φωναῖς.
[Ι' Περὶ τῆς τῶν θεοφιλῶν βασιλέων νίκης]
Ι[Α]' Περὶ τῆς ὑστάτης ἀπωλείας τῶν τῆς θεοσεβείας ἐχθρῶν.


[1] No pueden ser otros que Maximino y Licinio; en su primera edición, Eusebio debió de escribirlo en singular, referido sólo a Maximino, puesto que Licinio, como anuncia el título del capítulo 10, aún era «amigo de Dios» y no «tirano».

[2] El título de este capítulo 10 es, evidentemente, resto de una edición anterior en que, además de Constantino, se llamaba también a Licinio «amigo de Dios», en contradicción con el enunciado que encontramos en el capítulo 9; es, pues, anterior a la «damnatio memoriae» de Licinio, que siguió a su muerte, en 323. Además, el título está mal colocado, pues en realidad corresponde al contenido de la primera parte del capítulo 9. Cf. R. LAQUEUR, *Eusebius als Historiker seiner Zeit* (Berlín 1919) p.188-191.

# 1

## [De la fingida distensión]

1 La palinodia de la orden imperial antes citada se expone por todas partes y en todo lugar de Asia, así como en las provincias circundantes [3]. Cumplido esto así, Maximino, el tirano de Oriente [4], impiísimo como ningún otro y convertido en el mayor enemigo de la religión del Dios del universo, se disgustó muchísimo con lo escrito [5], y, en vez del susodicho edicto, ordenó de palabra [6] a los gobernantes sujetos a él [7] que aflojaran en la guerra contra nosotros. Efectivamente, como no le estaba permitido contradecir de otra manera el juicio de los más poderosos, poniendo a buen recaudo la mencionada ley y procurando cuidadosamente que en las regiones sujetas a él se hiciera pública, mediante una orden oral manda a los gobernantes sujetos a él aflojar en la persecución contra nosotros [8]. Pero los términos de la orden se los van comunicando ellos mutuamente por escrito [9].

2 Así, pues, Sabino, honrado entre ellos con la dignidad de los magistrados más elevados [10], da a conocer la decisión del empera-

## A'

1 Τὰ μὲν δὴ τῆς παλινῳδίας τοῦ προτεθέντος βασιλικοῦ νεύματος ἥπλωτο τῆς Ἀσίας πάντῃ καὶ πανταχοῦ κατά τε τὰς ἀμφὶ ταύτην ἐπαρχίας· ὧν τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον Μαξιμῖνος, ὁ ἐπ' ἀνατολῆς τύραννος, δυσσεβέστατος εἰ καί τις ἄλλος, καὶ τῆς εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείας πολεμιώτατος γεγονώς, οὐδαμῶς τοῖς γραφεῖσιν ἀρεσθείς, ἀντὶ τοῦ προτεθέντος γράμματος λόγῳ προστάττει τοῖς ὑπ' αὐτὸν ἄρχουσιν τὸν καθ' ἡμῶν ἀνεῖναι πόλεμον. ἐπεὶ γὰρ αὐτῷ μὴ ἐξῆν ἄλλως τῇ τῶν κρειττόνων ἀντιλέγειν κρίσει, τὸν προεκτεθέντα νόμον ἐν παραβύστῳ θεὶς καὶ ὅπως ἐν τοῖς ὑπ' αὐτὸν μέρεσιν μὴ εἰς προὖπτον ἀχθείη, φροντίσας, ἀγράφῳ προστάγματι τοῖς ὑπ' αὐτὸν ἄρχουσιν τὸν καθ' ἡμῶν διωγμὸν ἀνεῖναι προστάττει· οἳ δὲ τὰ τῆς παρακελεύσεως ἀλλήλοις διὰ γραφῆς ὑποσημαίνουσιν.

2 ὁ γοῦν παρ' αὐτοῖς τῷ τῶν ἐξοχωτάτων ἐπάρχων ἀξιώματι τετιμημένος Σαβῖνος πρὸς τοὺς κατ' ἔθνος ἡγουμένους

[3] Se entiende principalmente las provincias sujetas a Galerio, incluida Bitinia.

[4] Sobre Maximino y el libro IX, véase R. Laqueur, o.c., p.96-191.

[5] Como ya vimos *supra* VIII 17,5, el nombre de Maximino no aparece en el encabezamiento del edicto de tolerancia, pero tuvo que firmarlo como los otros emperadores, a pesar de las medidas que luego tomaría por su cuenta y riesgo. Por lo menos durante algún tiempo —unos seis meses quizás— tuvo que respetar lo acordado; cf. *infra* 2; S. Mitchell, *Maximinus and the Christians in A.D. 312: A new Latin Inscription*: Journal of Roman Studies 78 (1988) 105-124.

[6] Cf. *infra* 9a,7.

[7] Seguramente, sus más inmediatos colaboradores: el prefecto del pretorio y el «magister militiae».

[8] Como se ve, hay aquí una repetición de lo que acaba de decir; es uno de tantos casos en que Eusebio, al revisar su obra, olvida borrar lo que debía eliminar.

[9] Maximino, pues, parece que daba oralmente las órdenes a sus colaboradores inmediatos, y éstos las mandaban por escrito a los gobernadores de las provincias.

[10] Seguramente prefecto del pretorio ya con Galerio, continuó siéndolo con Maximino, aunque la expresión «entre ellos» puede también referirse a los gobernadores de provincias mencionados en el párrafo anterior. Por lo demás, no se sabe de Sabino más que lo dicho por Eusebio.

dor a los gobernadores de cada provincia mediante una carta en latín. Su traducción es la siguiente [11]:

3 «Con el más rico y más santo celo, hace ya tiempo que la divinidad de nuestros señores, santísimos emperadores [12], determinó orientar las mentes de todos los hombres al santo y recto camino del vivir, para que, incluso los que parecían seguir una costumbre ajena a la de los romanos, rindieran el culto debido a los dioses inmortales.

4 »Pero la obstinación y rudísima voluntad de algunos subió a tanto, que ni con el justo razonamiento de la orden se podía apartarles de su propia determinación, ni el castigo prometido los arredraba.

5 »Como quiera, pues, que por causa de tal actitud ocurrió que muchos se pusieron en peligro, la divinidad de nuestros señores, los poderosísimos emperadores, juzgando, según la mucha nobleza de su piedad, que era ajeno a su propio y diviníísimo propósito estar arrojando a los hombres a un peligro tan grande por una causa así, ordenó escribir a tu inteligencia por medio de mi devoción, que, si algún cristiano fuere hallado tomando parte en la religión de su propia nación, lo apartes de la molestia y del peligro que lo amenaza y no juzgues que debe alguien ser castigado por este motivo, ya que con el correr de tan largo tiempo se ha comprobado que de ninguna

τὴν βασιλέως ἐμφαίνει γνώμην διὰ Ῥωμαϊκῆς ἐπιστολῆς· ἧς καὶ αὐτῆς ἡ ἑρμενεία τοῦτον περιέχει τὸν τρόπον

3 «Λιπαρωτάτῃ καὶ καθωσιωμένῃ σπουδῇ ἡ θειότης τῶν δεσποτῶν ἡμῶν θειοτάτων αὐτοκρατόρων πάντων τῶν ἀνθρώπων τὰς διανοίας πρὸς τὴν ὁσίαν καὶ ὀρθὴν τοῦ ζῆν ὁδὸν περιαγαγεῖν ἔτι πάλαι ὥρισεν, ὅπως καὶ οἱ ἀλλοτρίᾳ Ῥωμαίων συνηθείᾳ ἀκολουθεῖν δοκοῦντες τὰς ὀφειλομένας θρησκείας τοῖς ἀθανάτοις θεοῖς ἐπιτελοῖεν·

4 »ἀλλ' ἡ τινῶν ἔνστασις καὶ τραχυτάτη βουλὴ εἰς τοσοῦτον περιέστη ὡς μήτε λογισμῷ δικαίῳ τῆς κελεύσεως δύνασθαι ἐκ τῆς ἰδίας προθέσεως ἀναχωρεῖν μήτε τὴν ἐπικειμένην τιμωρίαν αὐτοὺς ἐκφοβεῖν.

5 »ἐπειδὴ τοίνυν συνέβαινεν ἐκ τοῦ τοιούτου τρόπου πολλοὺς εἰς κίνδυνον ἑαυτοὺς περιβάλλειν, κατὰ τὴν προσοῦσαν εὐγένειαν τῆς εὐσεβείας ἡ θειότης τῶν δεσποτῶν ἡμῶν τῶν δυνατωτάτων αὐτοκρατόρων ἀλλότριον εἶναι τῆς προθέσεως τῆς θειοτάτης τῆς ἰδίας δοκιμάζουσα τὸ ἐκ τῆς τοιαύτης αἰτίας εἰς τοσοῦτον κίνδυνον τοὺς ἀνθρώπους περιβάλλειν, ἐκέλευσεν διὰ τῆς ἐμῆς καθοσιώσεως τῇ σῇ ἀγχινοίᾳ διαχαράξαι ἵν' εἴ τις τῶν Χριστιανῶν τοῦ ἰδίου ἔθνους τὴν θρησκείαν μετιὼν εὑρεθείη, τῆς κατ' αὐτοῦ ἐνοχλήσεως καὶ τοῦ κινδύνου αὐτόν ἀποστήσειας καὶ μή τινα ἐκ ταύτης τῆς προφάσεως τιμωρίᾳ κολαστέον νομίσειας, ὁπότε τῇ τοῦ τοσούτου χρόνου συνελεύσει συνέστη αὐτοὺς μηδενὶ τρόπῳ πεπεῖσθαι δεδυνῆσθαι ὅπως ἀπό τῶν τοιούτων ἐνστάσεων ἀναχωρήσαιεν.

[11] Esta frase y la carta, resto de una edición anterior y eliminado por Eusebio en las posteriores, se incluyen solamente en los Mss ATER. Como se verá, la carta se basa en la primera parte del edicto de Galerio (cf. *supra* VIII 17,6-9), pero cambia por completo el sentido de la segunda parte, su parte dispositiva, de manera que no aparece el reconocimiento del cristianismo como «religio licita».

[12] La carta quiere aparentar que refleja el pensar de los cuatro emperadores, pero en realidad sólo expresa la voluntad personal de Maximino Daza.

manera es posible persuadirles a que se aparten de semejante obstinación.

6 »Por consiguiente, tu solicitud debe escribir a los *curadores* [13], a los magistrados municipales y a los prepósitos de distrito rural de cada ciudad para que sepan que, en adelante, no les conviene preocuparse de este edicto» [14].

7 Después de esto, los de cada provincia [15], pensando que la intención de lo que se les escribía era la verdad, dan a conocer por medio de cartas el pensamiento imperial a los curadores, a los magistrados municipales y a los prepósitos de distrito rural. Pero no sólo hicieron avanzar el asunto mediante las cartas, sino también, y muy principalmente, mediante las obras. Con el fin de llevar a término la decisión imperial, sacaban a la luz del día y daban libertad a todos cuantos tenían encerrados en las cárceles por haber confesado la divinidad, y dejaban ir también a los que de entre ellos estaban castigados en las minas. Aunque se equivocaban [16], ellos creían que esto era lo que verdaderamente pensaba el emperador.

8 Y al ocurrir de este modo las cosas, de repente, como una luz que brilla saliendo de la noche oscura [17], en cada ciudad se podían ver iglesias congregadas [18], reuniones concurridísimas y, además, las ceremonias ejecutadas del modo acostumbrado. Y todo pagano infiel era presa de gran estupor ante esto y se maravillaba

6 »γράψαι τοιγαροῦν πρὸς τοὺς λογιστὰς καὶ τοὺς στρατηγοὺς καὶ τοὺς πραιποσίτους τοῦ πάγου ἑκάστης πόλεως ἡ σὴ ἐπιστρέφεια ὀφείλει ἵνα γνοῖεν περαιτέρω αὐτοῖς τούτου τοῦ γράμματος φροντίδα ποιεῖσθαι μὴ προσήκειν».

7 ἐπὶ τούτοις οἱ κατ' ἐπαρχίαν τὴν τῶν γραφέντων αὐτοῖς ἐπαληθεύειν προαίρεσιν νενομικότες, λογισταῖς καὶ στρατηγοῖς καὶ τοῖς κατ' ἀγροὺς ἐπιτεταγμένοις τὴν βασιλικὴν διὰ γραμμάτων ἐμφανῆ καθιστῶσι γνώμην· οὐ μόνον δ' αὐτοῖς διὰ γραφῆς ταῦτα προυχώρει, καὶ ἔργοις δὲ πολὺ πρότερον, ὡς ἂν νεῦμα βασιλικὸν εἰς πέρας ἄγοντες, ὅσους εἶχον δεσμωτηρίοις καθειργμένους διὰ τὴν εἰς τὸ θεῖον ὁμολογίαν, εἰς φανερὸν προάγοντες ἠλευθέρουν, ἀνιέντες τούτων δὴ αὐτῶν τοὺς ἐν μετάλλοις ἐπὶ τιμωρίᾳ δεδομένους· τοῦτο γὰρ ἐπ' ἀληθείας βασιλεῖ δοκεῖν ὑπειλήφασιν ἠπατημένοι.

8 καὶ δὴ τούτων οὕτως ἐπιτελεσθέντων, ἀθρόως οἷόν τι φῶς ἐκ ζοφερᾶς νυκτὸς ἐκλάμψαν, κατὰ πᾶσαν πόλιν συγκροτουμένας παρῆν ὁρᾶν ἐκκλησίας συνόδους τε παμπληθεῖς καὶ τὰς ἐπὶ τούτων ἐξ ἔθους ἐπιτελουμένας ἀγωγάς· καταπέπληκτο δ' οὐ σμικρῶς ἐπὶ τούτοις πᾶς τις τῶν ἀπίστων ἐθνῶν, τῆς τοσαύτης μεταβολῆς τὸ παράδοξον ἀποθαυμάζων μέγαν τε καὶ μόνον ἀληθῆ τὸν Χριστιανῶν θεὸν ἐπιβοώμενος.

[13] Es decir, a los «curatores rei publicae» o «curatores civitatis», con funciones fundamentalmente financieras; cf. L. Homo, *Las instituciones políticas romanas. De la ciudad al Estado* (Barcelona 1928) p.420.

[14] Declara, pues, abrogado un edicto anterior que mandaba perseguir a los cristianos; no sabemos cuál en concreto.

[15] Los gobernadores de cada provincia.

[16] Eusebio insiste en el cambio sutil que se había logrado dar a la parte dispositiva del edicto de Galerio, por la que de hecho se reconocía al cristianismo como «religio licita».

[17] Cf. 2 Cor 4,6.

[18] La asamblea, no los edificios.

de cambio tan prodigioso, y a gritos proclamaba grande y único verdadero al Dios de los cristianos.

9 De los nuestros, los que habían sostenido valiente y fielmente el combate de las persecuciones recobraban de nuevo su libertad franca para con todos; en cambio, los que, enfermos en la fe, habían naufragado en sus almas se apresuraban gozosos en busca de remedio, implorando y pidiendo a los fuertes su mano derecha salvadora y suplicando a Dios que les fuera propicio [19].

10 Y luego, los nobles atletas de la religión, liberados del sufrimiento de las minas, regresaban a sus casas caminando majestuosos y radiantes a través de las ciudades y rebosando indecible alegría y una libertad franca que no es posible traducir con palabras.

11 Así, pues, a lo largo de los caminos y las plazas, muchedumbres en tropel realizaban su viaje alabando a Dios con cantos y salmos, y a los que antes estaban presos con durísimos castigos y desterrados de sus patrias, los hubieras visto ahora recobrando sus hogares con rostro rebosante de alegría y satisfacción, tanto que incluso los que anteriormente gritaban contra nosotros, al ver ahora un prodigio tan contrario a lo que se podía esperar, se unían también a nuestro regocijo por lo ocurrido.

**9** τῶν δ' ἡμετέρων οἱ μὲν τὸν τῶν διωγμῶν ἀγῶνα πιστῶς καὶ ἀνδρικῶς διηθληκότες τὴν πρὸς ἅπαντας αὖθις ἀπελάμβανον παρρησίαν, ὅσοι δὲ τὰ τῆς πίστεως νενοσηκότες τὰς ψυχὰς ἐτύγχανον κεχειμασμένοι, ἀσμένως περὶ τὴν σφῶν θεραπείαν ἔσπευδον, ἀντιβολοῦντες καὶ σωτηρίας δεξιὰν τοὺς ἐρρωμένους αἰτούμενοι τόν τε θεὸν ἵλεων αὐτοῖς γενέσθαι καθικετεύοντες·

**10** εἶτα δὲ καὶ οἱ γενναῖοι τῆς θεοσεβείας ἀθληταὶ τῆς εἰς τὰ μέταλλα κακοπαθείας ἐλευθερούμενοι ἐπὶ τὰς αὐτῶν ἐστέλλοντο, γαῦροι καὶ φαιδροὶ διὰ πάσης ἰόντες πόλεως εὐφροσύνης τε ἀλέκτου καὶ ἣν οὐδὲ λόγῳ δυνατὸν ἑρμηνεῦσαι παρρησίας ἔμπλεοι.

**11** στίφη δ' οὖν πολυάνθρωπα κατὰ μέσας λεωφόρους καὶ ἀγορὰς ᾠδαῖς καὶ ψαλμοῖς τὸν θεὸν ἀνυμνοῦντα τὰ τῆς πορείας ἤνυεν, καὶ τοὺς μετὰ τιμωρίας ἀπηνεστάτης μικρῷ πρόσθεν δεσμίους τῶν πατρίδων ἀπεληλαμένους εἶδες ἂν ἱλαροῖς καὶ γεγηθόσι προσώποις τὰς αὐτῶν ἑστίας ἀπολαμβάνοντας, ὡς καὶ τοὺς πρότερον καθ' ἡμῶν φονῶντας τὸ θαῦμα παρὰ πᾶσαν ὁρῶντας ἐλπίδα, συγχαίρειν τοῖς γεγενημένοις.

[19] Es la primera alusión que Eusebio hace a las apostasías producidas por esta larga persecución.

# 2

## [Del posterior empeoramiento]

Pero el tirano [20] que, según dijimos [21], gobernaba las partes del Oriente [22], enemigo como era del bien y conspirador contra todos los buenos, incapaz de soportar esto, ni siquiera seis meses completos aguantó que se obrara de esa manera. Por consiguiente, se puso a maquinar medios para destruir la paz. Primeramente intentó con un pretexto impedirnos la reunión en los cementerios [23]; luego, valiéndose de algunos hombres malvados, él mismo se envió embajadas a sí mismo contra nosotros [24], pues exhortó a los ciudadanos de Antioquía a que pidieran obtener de él como uno de los mayores beneficios el que en modo alguno permitiese a un cristiano habitar en su patria, y que sugirieran a otros esta misma operación. En la misma Antioquía, el autor de todo esto fue Teotecno, hombre temible, charlatán, malvado y que no hacía honor a su nombre [25]. Era, según parece, curador de la ciudad [26].

Β'

Ταῦτα δ' οὐκέθ' οἷός τε φέρειν ὁ τύραννος μισόκαλος καὶ πάντων ἀγαθῶν ἐπίβουλος ὑπάρχων, ὃν ἔφαμεν τῶν ἐπ' ἀνατολῆς ἄρχειν μερῶν, οὐδ' ὅλους ἐπὶ μῆνας ἓξ τοῦτον ἐπιτελεῖσθαι τὸν τρόπον ἠνέσχετο. ὅσα δ' οὖν πρὸς ἀνατροπὴν τῆς εἰρήνης μηχανώμενος πρῶτον μὲν εἴργειν ἡμᾶς τῆς ἐν τοῖς κοιμητηρίοις συνόδου διὰ προφάσεως πειρᾶται, εἶτα διά τινων πονηρῶν ἀνδρῶν αὐτὸς ἑαυτῷ καθ' ἡμῶν πρεσβεύεται, τοὺς Ἀντιοχέων πολίτας παρορμήσας ἐπὶ τὸ μηδαμῶς τινα Χριστιανῶν τὴν αὐτῶν οἰκεῖν ἐπιτρέπεσθαι πατρίδα ὡς ἐν μεγίστῃ δωρεᾷ παρ' αὐτοῦ τυχεῖν ἀξιῶσαι, καὶ ἑτέρους δὲ ταὐτὸν ὑποβαλεῖν διαπράξασθαι· ὧν πάντων ἀρχηγὸς ἐπ' αὐτῆς Ἀντιοχείας ἐπιφύεται Θεότεκνος, δεινὸς καὶ γόης καὶ πονηρὸς ἀνὴρ καὶ τῆς προσωνυμίας ἀλλότριος· ἐδόκει δὲ λογιστεύειν τὰ κατὰ τὴν πόλιν.

20 Maximino Daza.
21 Cf. *supra* VIII 14,7; IX 1,1.
22 Desde la promulgación del edicto de Galerio, el 30 de abril de 311, hasta noviembre del mismo año, después de haber obtenido Bitinia mediante un difícil arreglo con Licinio, y antes de su partida para Siria; cf. Lactancio, *De mort. pers.* 36.
23 Al no haber otros lugares de reunión, esta prohibición equivalía a impedir toda clase de asamblea religiosa; no sabemos a ciencia cierta qué pretexto adujo.
24 Cf. Lactancio, o.c., 36,3. Sin duda esta maniobra provocó pronto iniciativas más o menos «espontáneas» y complacientes, como veremos, comenzando por Teotecno. Como ejemplo de esta clase de peticiones, puede verse la del «concilio» provincial de Licia y de Panfilia, reproducida por H. Grégoire *(Inscriptions chrétiennes d'Asie Mineur* (París 1922) p.95; cf. también P. de Labriolle, *La réaction païenne* (Paris 1942) p.323-325.
25 Teotecno significa «hijo de Dios».
26 «Curator civitatis», o director municipal de hacienda; su obsequiosa colaboración le valdrá cargos más importantes; cf. *infra* 11,5; V. Schultze, *Altchristliche Städte und Landschaften. III Antiocheia* (Gütersloh 1930) p.75.

## 3

### [De la estatua recién erigida en Antioquía]

Este hombre [27], pues, que nos hizo la guerra cuanto pudo y por todos los medios se afanó para que a los nuestros los cazaran en sus escondrijos como a ladrones sacrílegos, y que todo lo maquinó basado en la calumnia y acusaciones contra nosotros y fue el causante de la muerte de innumerables personas, terminó por erigir una estatua de Zeus Filios [28] con prácticas de magia y brujerías. Inventó para ello ceremonias impuras, iniciaciones de mal agüero y purificaciones abominables, y hasta delante del emperador hizo gala de su categoría prodigiosa mediante lo que él tenía por oráculos. Este, para adular a su dueño y señor en lo que le gustaba, excitó contra los cristianos al demonio y dijo que el dios ordenaba expulsar a los cristianos más allá de los límites de la ciudad y de la región circundante, por ser, afirmaba, enemigos suyos.

## 4

### [De las decisiones votadas contra nosotros]

1 Este fue el primero a quien salió bien su propósito. Todas las demás autoridades que habitaban las ciudades sujetas al mismo mando se apresuraron a tomar parecida resolución, mientras los gobernadores de provincia, al comprender que esto agradaba al emperador [29], sugerían a sus súbditos que hicieran lo mismo.

Γ'

πλεῖστα δ' οὖν οὗτος καθ' ἡμῶν στρατευσάμενος καὶ πάντα τρόπον τοὺς ἡμετέρους ὥσπερ τινὰς φῶρας ἀνοσίους ἐκ μυχῶν θηρεῦσαι διὰ σπουδῆς πεποιημένος πάντα τε ἐπὶ διαβολῇ καὶ κατηγορίᾳ τῇ καθ' ἡμῶν μεμηχανημένος, καὶ θανάτου δὲ αἴτιος μυρίοις ὅσοις γεγονώς, τελευτῶν εἴδωλόν τι Διὸς Φιλίου μαγγανείαις τισὶν καὶ γοητείαις ἱδρύεται, τελετάς τε ἀνάγνους αὐτῷ καὶ μυήσεις ἀκαλλιερήτους ἐξαγίστους τε καθαρμοὺς ἐπινοήσας, μέχρι καὶ βασιλέως τὴν τερατείαν δι' ὧν ἐδόκει χρησμῶν ἐπεδείκνυτο. καὶ δὴ καὶ οὗτος κολακείᾳ τῇ καθ' ἡδονὴν τοῦ κρατοῦντος ἐπεγείρει κατὰ Χριστιανῶν τὸν δαίμονα καὶ τὸν θεὸν δὴ κελεῦσαί φησιν ὑπερορίους τῆς πόλεως καὶ τῶν ἀμφὶ τὴν πόλιν ἀγρῶν ὡς ἂν ἐχθροὺς αὐτῷ Χριστιανοὺς ἀπελάσαι.

Δ'

1 τούτῳ δὲ πρώτῳ κατὰ γνώμην πράξαντι πάντες οἱ λοιποὶ τῶν ἐν τέλει τὰς ὑπὸ τὴν αὐτὴν ἀρχὴν πόλεις οἰκοῦντες τὴν ὁμοίαν ὁρμῶνται ψῆφον ποιήσασθαι, προσφιλὲς εἶναι τοῦτο βασιλεῖ τῶν κατ' ἐπαρχίαν ἡγεμόνων συνεωρακότων καὶ τοῦτ' αὐτὸ διαπράξασθαι τοῖς ὑπηκόοις ὑποβεβληκότων·

[27] Teotecno.
[28] Zeus, protector de la amistad.
[29] Maximino.

2 El tirano dio contentísimo su asentimiento a estas decisiones mediante un rescripto [30], y otra vez se reavivó la persecución contra nosotros. El mismo Maximino estableció por cada ciudad como sacerdotes de los ídolos y, por encima de éstos, como sumos sacerdotes, a todos los que más se habían distinguido en las funciones públicas y que en todas habían adquirido fama [31]. También ellos fueron muy solícitos en todo lo que atañía al culto de los dioses que tenían a su cuidado.

3 En resumen, la absurda superstición del dueño y señor inducía a todos sus súbditos, gobernantes y gobernados, a obrar en todo contra nosotros para congraciarse con él. A cambio de los beneficios que creían que iban a obtener de él, le hacían este favor, el mayor: desear nuestra matanza y seguir haciendo gala de las más nuevas maldades a nosotros destinadas.

## 5

### [De las «Memorias» fingidas]

1 Después de inventar—como suena—unas *Memorias de Pilato* [32] *y de Nuestro Salvador*, abarrotadas de todo género de blasfemias contra Cristo, con la anuencia del soberano las distribuyen por todo el país sujeto a su mando, con instrucciones escritas para que

2 ὧν δὴ καὶ αὐτῶν τοῖς ψηφίσμασιν δι' ἀντιγραφῆς ἀσμενέστατα ἐπινεύσαντος τοῦ τυράννου, αὖθις ἐξ ὑπαρχῆς ὁ καθ' ἡμῶν ἀνεφλέγετο διωγμός. ἱερεῖς δῆτα κατὰ πόλιν τῶν ξοάνων καὶ ἐπὶ τούτοις ἀρχιερεῖς πρὸς αὐτοῦ Μαξιμίνου οἱ μάλιστα ταῖς πολιτείαις διαπρέψαντες καὶ διὰ πασῶν ἔνδοξοι γενόμενοι καθίσταντο, οἷς καὶ πολλή τις εἰσήγετο σπουδὴ περὶ τὴν τῶν θεραπευομένων πρὸς αὐτῶν θρησκείαν.

3 ἡ γοῦν ἔκτοπος τοῦ κρατοῦντος δεισιδαιμονία, συνελόντι φάναι, πάντας τοὺς ὑπ' αὐτὸν ἄρχοντάς τε καὶ ἀρχομένους εἰς τὴν αὐτοῦ χάριν πάντα πράττειν καθ' ἡμῶν ἐνῆγεν, ταύτην αὐτῷ χάριν μεγίστην ἀνθ' ὧν ἐνόμιζον πρὸς αὐτοῦ τεύξεσθαι εὐεργεσιῶν, ἀντιδωρουμένων, τὸ καθ' ἡμῶν φονᾶν καί τινας εἰς ἡμᾶς καινοτέρας κακοηθείας ἐνδείκνυσθαι.

### Ε'

1 πλασάμενοι δῆτα Πιλάτου καὶ τοῦ σωτῆρος ἡμῶν ὑπομνήματα πάσης ἔμπλεα κατὰ τοῦ Χριστοῦ βλασφημίας, γνώμῃ τοῦ μείζονος ἐπὶ πᾶσαν διαπέμπονται τὴν ὑπ' αὐτὸν ἀρχὴν διὰ προγραμμάτων πα-

[30] Cf. *infra* 7,3-14.

[85] Parece referirse al llamado «Edicto de Milán», cuya traducción griega se verá *infra* X 5, 1-14, mientras que Lactancio (*De mort. pers.* 48,2-8) ha conservado el texto latino. Algunos, sin embargo, piensan en un edicto inmediatamente posterior a la victoria sobre Majencio, todavía en 212; cf. P. Allard, *Le Christianisme et l'Empire romain de Néron à Théodose* (París [8]1908) p.146-153; G. Boissier, *La fin du paganisme*, t.1 (París [6]1909) p.41-84; P. Batiffol, *La paix constantinienne et le catholicisme* (París [3]1914) p.211-267; espec. R. Klein, *Der* νόμος τελεώτατος *Konstantins für die Christen im Jahre* 312: Römische Quartalschrift für christliche Altertumskunde und für Kirchengeschichte 67 (1972) 1-28; J. Szidat, *Konstantin 312 n. Chr. Eine Wende in seiner religiösen Ueberzeugung oder die Möglichkeit, diese öffentlich erkennen zu lassen und aus ihr heraus Politik zu machen?:* Gymnasium 92 (1985) 514-525.

[86] Majencio.

[87] Constantino y Licinio envían a Maximino la relación o informe de la victoria obtenida sobre Majencio, y a la vez le comunican la decisión tomada en favor de los cristianos.

13 Pero él, tirano como era, se afligió sobremanera al conocer estas cosas, y luego, no queriendo aparentar que cedía ante los otros ni tampoco que suprimía lo mandado, por temor a los que lo tenían ordenado, se ve en la necesidad de escribir en favor de los cristianos a los gobernadores súbditos suyos, como si lo hiciera por propio y absoluto poder, esta primera carta [88] en que falsamente se finge a sí mismo cosas que jamás había realizado.

## 9a [89]

## Copia de la traducción de la carta del tirano

1 «Jovio Maximino Augusto [90], a Sabino [91]: Estoy persuadido de que, lo mismo para tu firmeza que para todos los hombres, es evidente que nuestros señores y padres, Diocleciano y Maximiano, cuando se dieron cuenta de que casi todos los hombres, abandonando el culto de los dioses, se habían mezclado con la raza de los cristianos [92], obraron rectamente al ordenar que todos los que habían desertado del culto de sus propios dioses inmortales fueran de nuevo llamados al culto de los dioses mediante corrección y castigo ejemplar [93].

2 »Pero cuando yo llegué por primera vez al Oriente [94] bajo buenos auspicios y me enteré de que en algunos lugares los jueces

13 ὁ δ' οἷα τύραννος περιαλγὴς ἐφ' οἷς ἔγνω, γεγενημένος, εἶτα μὴ δοκεῖν ἑτέροις εἶξαι βουλόμενος μηδ' αὖ παρεκθέσθαι τὸ κελευσθὲν δέει τῶν προστεταχότων ὡς ἂν ἐξ ἰδίας αὐθεντίας τοῖς ὑπ' αὐτὸν ἡγεμόσιν τοῦτο πρῶτον ὑπὲρ Χριστιανῶν ἐπάναγκες διαχαράττει τὸ γράμμα, τὰ μηδέπω ποτὲ πρὸς αὐτοῦ πεπραγμένα ἐπιπλάστως αὐτὸς καθ' ἑαυτοῦ ψευδόμενος.

ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ ΕΠΙΣΤΟΛΗΣ ΤΟΥ ΤΥΡΑΝΝΟΥ

Θ'α

1 «Ἰόβιος Μαξιμῖνος Σεβαστὸς Σαβίνῳ. καὶ παρὰ τῇ σῇ στιβαρότητι καὶ παρὰ πᾶσιν ἀνθρώποις φανερὸν εἶναι πέποιθα τοὺς δεσπότας ἡμῶν Διοκλητιανὸν καὶ Μαξιμιανόν, τοὺς ἡμετέρους πατέρας, ἡνίκα συνεῖδον σχεδὸν ἅπαντας ἀνθρώπους καταλειφθείσης τῆς τῶν θεῶν θρησκείας τῷ ἔθνει τῶν Χριστιανῶν ἑαυτοὺς συμμεμιχότας, ὀρθῶς διατεταχέναι πάντας ἀνθρώπους τοὺς ἀπὸ τῆς τῶν αὐτῶν θεῶν τῶν ἀθανάτων θρησκείας ἀναχωρήσαντας προδήλῳ κολάσει καὶ τιμωρίᾳ εἰς τὴν θρησκείαν τῶν θεῶν ἀνακληθῆναι.

2 »ἀλλ' ὅτε ἐγὼ εὐτυχῶς τὸ πρῶτον εἰς τὴν ἀνατολὴν παρεγενόμην καὶ ἔγνων εἴς τινας τόπους πλείστους τῶν ἀνθρώπων τὰ δημόσια ὠφελεῖν δυναμένους ὑπὸ

[88] La primera después de reanudada por cuenta propia la persecución; para la segunda, cf. *infra* 10,7-11.
[89] Este capítulo adicional del 9 contiene el documento de Maximino, que viene a ser el equivalente de la palinodia de Galerio con que se cierra el libro anterior, y seguramente se destinaba a concluir, a su vez, el libro IX.
[90] Maximino, que aspira al honor de primer augusto, hace suyo el título de «Jovius», asumido por Diocleciano al comienzo de la tetrarquía; cf. LACTANCIO, *De mort. pers.* 52,3. La carta data de finales de 312.
[91] Cf. *supra* 1,2.
[92] Cf. *supra* I 4,2.
[93] Cf. *supra* VIII 2; 4; 5; 6,10.
[94] Se hallaba en Iliria cuando, en 305, Diocleciano le llamó para hacerlo césar de Galerio, tío suyo; Lactancio (o.c., 19,5-6) se complace en subrayar su baja extracción.

habían desterrado por la causa antes señalada a numerosísimas personas que podían ser útiles al Estado, di órdenes a cada uno de los jueces para que en adelante ninguno de ellos se comportara duramente con los habitantes de las provincias, sino que, más bien, con halagos y exhortaciones, intentaran llamarlos de nuevo al culto de los dioses.

3 »En consecuencia, por entonces, mientras los jueces, conforme a mi mandato, guardaban lo que estaba ordenado, ocurría que de las partes de Oriente ninguno era desterrado ni ultrajado; al contrario, más bien ocurría que, al no hacerse nada grave contra ellos, retornaban al culto de los dioses [95].

4 »Y luego, cuando el año pasado entré felizmente en Nicomedia y residí en ella, se presentaban a mí ciudadanos de la misma ciudad con las estatuas de sus dioses pidiéndome encarecidamente que de ninguna manera permitiese que semejante raza [96] habitara en su patria [97].

5 »Sin embargo, cuando me enteré de que numerosísimos hombres de la misma religión habitaban en aquellas regiones, les di como respuesta que les agradecía complacido su petición, pero que advertía que esta demanda no provenía de todos. Por consiguiente, si había algunos que perseveraban en la misma superstición, que cada uno decidiera según su personal preferencia y, si querían, que reconocieran el culto de los dioses.

6 »No obstante, a los habitantes de la misma Nicomedia y a

τῶν δικαστῶν διὰ τὴν προειρημένην αἰτίαν ἐξορίζεσθαι, ἑκάστῳ τῶν δικαστῶν ἐντολὰς δέδωκα ὥστε μηδένα τούτων τοῦ λοιποῦ προσφέρεσθαι τοῖς ἐπαρχιώταις ἀπηνῶς, ἀλλὰ μᾶλλον κολακείᾳ καὶ προτροπαῖς πρὸς τὴν τῶν θεῶν θρησκείαν αὐτοὺς ἀνακαλεῖν.

**3** »τηνικαῦτα οὖν, ὅτε ἀκολούθως τῇ κελεύσει τῇ ἐμῇ ὑπό τῶν δικαστῶν ἐφυλάττετο τὰ προστεταγμένα, συνέβαινεν μηδένα ἐκ τῶν τῆς ἀνατολῆς μερῶν μήτε ἐξόριστον μήτε ἐνύβριστον γίνεσθαι, ἀλλὰ μᾶλλον ἐκ τοῦ μὴ βαρέως κατ᾽ αὐτῶν τι γίνεσθαι εἰς τὴν τῶν θεῶν θρησκείαν ἀνακεκλῆσθαι·

**4** »μετὰ δὲ ταῦτα, ὅτε τῷ παρελθόντι ἐνιαυτῷ εὐτυχῶς ἐπέβην εἰς τὴν Νικομήδειαν κἀκεῖ διετέλουν, παρεγένοντο πολῖται τῆς αὐτῆς πόλεως πρός με ἅμα μετὰ τῶν ξοάνων τῶν θεῶν μειζόνως δεόμενοι ἵνα παντὶ τρόπῳ τὸ τοιοῦτον ἔθνος μηδαμῶς ἐπιτρέποιτο ἐν τῇ αὐτῶν πατρίδι οἰκεῖν.

**5** »ἀλλ᾽ ὅτε ἔγνων πλείστους τῆς αὐτῆς θρησκείας ἄνδρας ἐν αὐτοῖς τοῖς μέρεσιν οἰκεῖν, οὕτως αὐτοῖς τὰς ἀποκρίσεις ἀπένεμον ὅτι τῇ μὲν αἰτήσει αὐτῶν ἀσμένως χάριν ἔσχηκα, ἀλλ᾽ οὐ παρὰ πάντων τοῦτο αἰτηθὲν κατεῖδον· εἰ μὲν οὖν τινες εἶεν τῇ αὐτῇ δεισιδαιμονίᾳ διαμένοντες, οὕτως ἕνα ἕκαστον ἐν τῇ ἰδίᾳ προαιρέσει τὴν βούλησιν ἔχειν καὶ εἰ βούλοιντο, τὴν τῶν θεῶν θρησκείαν ἐπιγινώσκειν.

**6** »ὅμως καὶ τοῖς τῆς αὐτῆς πόλεως

[95] La cínica habilidad de los perseguidores en el uso del lenguaje para ocultar la verdad es, como se ve, muy antigua. Maximino se cuida muy bien de llamar por su nombre a la sangrienta persecución de que fueron victimas los cristianos de sus dominios desde 306.

[96] Cf. *supra* § 1; I 4,2.

[97] Sobre el verdadero sentido de este párrafo y el siguiente, cf. *supra* 2 nota 24; LACTANCIO, o.c., 36,3.

las demás ciudades que tan solícitamente me tenían hecha también idéntica petición, a saber, que ningún cristiano habitara en sus ciudades [98], hube de responderles forzosamente en términos amistosos, ya que esto mismo guardaron incluso los antiguos emperadores, todos, y plugo a los mismos dioses—por los cuales se mantienen todos los hombres y la misma administración del Estado— que yo confirmara esa importante petición que presentaban en favor del culto de su divinidad.

7 »Por consiguiente, aun cuando anteriormente hayamos escrito a tu devoción y se te haya igualmente ordenado en instrucciones [99] no comportarte duramente con los provincianos que se empeñaran en guardar semejante costumbre, sino tratarlos con paciencia y mesura, sin embargo, para que no tengan que aguantar insultos ni violencias a manos de los *beneficiarios* [100] o de otros cualesquiera, juzgué oportuno sugerir a tu gravedad con esta carta que, valiéndote de halagos y exhortaciones, hagas que nuestras provincias reconozcan el culto de los dioses.

8 »De ahí que, si alguno por su voluntad admitiese que se ha de reconocer el culto de los dioses, a esta gente conviene recibirla. Pero si algunos desean seguir su propio culto, podrías ir dejándolos en su libertad [101].

9 »Por esta razón, tu devoción debe guardar escrupulosamen-

Νικομηδεῦσιν καὶ ταῖς λοιπαῖς πόλεσιν, αἳ καὶ αὐταὶ εἰς τοσοῦτον τὴν ὁμοίαν αἴτησιν περισπουδάστως πρός με πεποιήκασιν, δηλονότι ἵνα μηδεὶς τῶν Χριστιανῶν ταῖς πόλεσιν ἐνοικοίη, ἀνάγκην ἔσχον προσφιλῶς ἀποκρίνασθαι, ὅτι δὴ αὐτὸ τοῦτο καὶ οἱ ἀρχαῖοι αὐτοκράτορες πάντες διεφύλαξαν καὶ αὐτοῖς τοῖς θεοῖς, δι' οὓς πάντες ἄνθρωποι καὶ αὐτὴ ἡ τῶν δημοσίων διοίκησις συνίσταται, ἤρεσεν οὖν ὥστε τὴν τοσαύτην αἴτησιν, ἣν ὑπὲρ τῆς θρησκείας τοῦ θείου αὐτῶν ἀναφέρουσιν, βεβαιώσαιμι.

7 »τοιγαροῦν εἰ καὶ τὰ μάλιστα καὶ τῇ σῇ καθοσιώσει πρὸ τούτου τοῦ χρόνου διὰ γραμμάτων ἐπέσταλται καὶ δι' ἐντολῶν ὁμοίως κεκέλευσται ἵνα μὴ κατὰ τῶν ἐπαρχιωτῶν τὸ τοιοῦτον ἔθος διαφυλάξαι ἐπιμεληθέντων μηδὲν τραχέως, ἀλλὰ ἀνεξικάκως καὶ συμμέτρως συμπεριφέροιντο αὐτοῖς, ὅμως ἵνα μήτε ὑπὸ τῶν βενεφικιαρίων μήτε ὑπ' ἄλλων τῶν τυχόντων ὕβρεις μήτε σεισμοὺς ὑπομένοιεν, ἀκόλουθον ἐνόμισα καὶ τούτοις τοῖς γράμμασιν τὴν σὴν στιβαρότητα ὑπομνῆσαι ὅπως ταῖς κολακείαις καὶ ταῖς προτροπαῖς μᾶλλον τὴν τῶν θεῶν ἐπιμέλειαν τοὺς ἡμετέρους ἐπαρχιώτας ποιήσειας ἐπιγινώσκειν·

8 »ὅθεν εἴ τις τῇ αὐτοῦ προαιρέσει τὴν θρησκείαν τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τούτους ὑποδέχεσθαι προσήκει· εἰ δέ τινες τῇ ἰδίᾳ θρησκείᾳ ἀκολουθεῖν βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλείποις.

9 »διόπερ ἡ σὴ καθοσίωσις τὸ ἐπιτρα-

[98] Cf. *supra* 7,12.
[99] Seguramente orales.
[100] Los «beneficiarii» eran soldados que, rebajados de los servicios más gravosos por concesión especial, solían desempeñar trabajos fáciles, como los de policía y acompañamiento de los oficiales superiores.
[101] Aunque con sobrada mala gana, Maximino se ve constreñido a soltar la frase decisiva, atenuándola todavía, no obstante, con el optativo.

te lo que se te ha confiado, y que a nadie se le dé facultad para excitar a nuestros provincianos con injurias y violencias, pues, como arriba queda escrito, más bien conviene atraer de nuevo a nuestros provincianos al culto de los dioses con exhortaciones y halagos. Y para que este mandato nuestro llegue a conocimiento de todos nuestros provincianos, deberás hacer público lo mandado mediante una orden que tú propondrás».

10 Como quiera que había tomado estas disposiciones forzado por la necesidad y no por propia convicción, nadie le tuvo ya por verdadero y digno de fe, a causa de su pensar inconstante y mentiroso, manifestado ya anteriormente tras una concesión semejante [102].

11 En consecuencia, ninguno de los nuestros se atrevía a convocar una reunión ni a presentarse en público, ya que el edicto no se lo autorizaba; solamente ordenaba guardarse de insultarnos, pero no animaba a que se hiciesen reuniones, a que se construyesen iglesias y a que se practicase cualquier acto de los acostumbrados entre nosotros.

12 Y, sin embargo, los defensores de la paz y de la piedad [103] le habían escrito que lo permitiera [104], y ellos lo habían concedido por medio de edictos y leyes a todos sus súbditos. En realidad, aquel monstruo de impiedad prefería no ceder en este terreno, hasta que, al fin, acosado por la justicia divina, mal de su grado, se vio llevado a hacerlo.

πέν σοι διαφυλάττειν ὀφείλει, καὶ μηδενὶ ἐξουσία δοθῇ ὥστε τοὺς ἡμετέρους ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς ἐπιτρῖψαι, ὁπότε, ὥσπερ προγέγραπται, ταῖς προτροπαῖς μᾶλλον καὶ ταῖς κολακείαις πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους ἐπαρχιώτας προσήκει ἀνακαλεῖν. ἵνα δὲ αὕτη ἡμῶν ἡ κέλευσις εἰς γνῶσιν πάντων τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων ἔλθῃ, διατάγματι ὑπὸ σοῦ προτεθέντι τό κεκελευσμένον ὀφείλεις δηλῶσαι».

**10** Ταῦθ' ὑπὸ τῆς ἀνάγκης ἐκβεβιασμένος, ἀλλ' οὐ κατὰ γνώμην τὴν αὑτοῦ διακελευσάμενος, οὐκέτ' ἀληθὴς οὐδ' ἀξιόπιστος παρὰ τοῖς πᾶσιν ἦν τῆς πρόσθεν ἤδη μετὰ τὴν ὁμοίαν συγχώρησιν παλιμβόλου καὶ διεψευσμένης αὐτοῦ γνώμης ἕνεκα.

**11** οὔκουν ἐτόλμα τις τῶν ἡμετέρων σύνοδον συγκροτεῖν οὐδ' ἑαυτὸν ἐν φανερῷ καταστήσασθαι, ὅτι μηδὲ τοῦτ' ἤθελεν αὐτῷ τὸ γράμμα, αὐτὸ μόνον τὸ ἀνεπηρέαστον ἡμῖν ἐπιτρέπον φυλάττεσθαι, οὐ μὴν συνόδους ἐπικελεῦον ποιεῖσθαι οὐδ' οἴκους ἐκκλησιῶν οἰκοδομεῖν οὐδ' ἄλλο τι τῶν ἡμῖν συνήθων διαπράττεσθαι.

**12** καίτοι γε ταῦθ' οἱ τῆς εἰρήνης καὶ εὐσεβείας προήγοροι αὐτῷ τε ἐπιτρέπειν ἐπεστάλκεσαν καὶ τοῖς ὑπ' αὐτοὺς ἅπασιν διὰ προγραμμάτων καὶ νόμων συγκεχωρήκεσαν· οὐ μὴν ὁ δυσσεβέστατός γε ταύτῃ ἐνδοῦναι προῄρητο, εἰ μὴ ὅτε πρὸς τῆς θείας συνελαθεὶς δίκης ὕστατόν γε ἄκων ἐπὶ τοῦτ' ἤχθη.

[102] Cf. *supra* 2.

[103] Las ediciones anteriores, reflejadas en el grupo ATER, añadían: «Constantino y Licinio».

[104] Cf. *supra* 9,12; *infra* X 5-6.

# 10

## [De la victoria de los emperadores amigos de Dios]

1 Esta fue la causa que le obligó. Maximino era incapaz de llevar el peso del supremo gobierno que le habían confiado sin merecerlo; debido a su carencia de reflexión sensata y propia de un emperador, manejaba los asuntos públicos con total impericia y, sobre todo, se alzaba irreflexivamente en su alma con orgullosa jactancia incluso contra sus mismos colegas imperiales, que en todo le sobrepasaban, lo mismo en linaje que en educación, instrucción, dignidad, inteligencia y—lo que es más importante que todo—en sabia prudencia y en piedad para con el verdadero Dios. Empezó con la osadía de insolentarse y de proclamarse a sí mismo públicamente el primero en los honores [105].

2 Llevando hasta la locura su vesánico orgullo, quebrantó los pactos que tenía hechos con Licinio [106] y emprendió una guerra sin cuartel [107]. Luego, al poco tiempo, alborotándolo todo y perturbando profundamente a cada ciudad, reunió toda la fuerza armada, una muchedumbre de incontables miríadas, y partió a la lucha en orden de batalla contra él y con el alma exaltada por las esperanzas puestas en los demonios, que él creía dioses, y en las miríadas de soldados armados.

3 Pero, al venir a las manos, se encontró desprovisto de la protección de Dios, por otorgarse al que entonces mandaba [108] la victoria que procede del mismo y único Dios de todas las cosas.

Ι'

1 ἐκπεριῆλθεν δ' αὐτὸν τοιαύτη τις αἰτία. τὸ μέγεθος τῆς οὐ κατ' ἀξίαν ἐπιτραπείσης ἡγεμονίας αὐτῷ μὴ οἷός τε φέρειν, ἀλλὰ δι' ἀπειρίαν σώφρονος καὶ βασιλικοῦ λογισμοῦ ἀπειροκάλως τοῖς πράγμασιν ἐγχειρῶν ἐπὶ πᾶσίν τε ὑπερηφανίας μεγαλαυχίᾳ τὴν ψυχὴν ἀλόγως ἀρθείς, ἤδη καὶ κατὰ τῶν τῆς βασιλείας κοινωνῶν, τὰ πάντα αὐτοῦ προφερόντων γένει καὶ τροφῇ καὶ παιδείᾳ ἀξιώματί τε καὶ συνέσει καὶ τῷ γε πάντων κορυφαιοτάτῳ, σωφροσύνῃ καὶ τῇ περὶ τὸν ἀληθῆ θεόν εὐσεβείᾳ, τολμᾶν ὥρμητο θρασύνεσθαι καὶ πρῶτον ἑαυτὸν ταῖς τιμαῖς ἀναγορεύειν.

2 ἐπιτείνας δ' εἰς ἀπόνοιαν τὰ τῆς μανίας, συνθήκας ἃς πρὸς Λικίννιον πεποίητο, παρασπονδήσας, πόλεμον ἄσπονδον αἱρεται· εἶτ' ἐν βραχεῖ τὰ πάντα κυκήσας πᾶσάν τε πόλιν ἐκταράξας καὶ πᾶν στρατόπεδον, μυριάδων τό πλῆθος ἀνηρίθμων, συναγαγών, ἔξεισιν εἰς μάχην αὐτῷ παραταξάμενος, δαιμόνων ἐλπίσιν, ὧν δὴ ᾤετο θεῶν, καὶ ταῖς τῶν ὁπλιτῶν μυριάσιν τὴν ψυχὴν ἐπηρμένος,

3 καὶ δὴ συμβαλὼν εἰς χεῖρας, ἔρημος τῆς ἐκ θεοῦ καθίσταται ἐπισκοπῆς, τῆς νίκης ἐξ αὐτοῦ τοῦ πάντων ἑνὸς καὶ μόνου θεοῦ τῷ τότε κρατοῦντι πρυτανευθείσης.

105 Cf. *supra* 9a,1; VIII 13,15. En verdad, por derecho de antigüedad en el mando imperial, aunque solamente como césar, le correspondía la dignidad de primer augusto.

106 Sobre este pacto con Licinio tras la muerte de Galerio, cf. Lactancio, *De mort. pers.* 36,1-2.

107 En la primavera de 313, partiendo de Asia Menor, invadió Tracia. Allí, en Campus Serenus (Tzirallum), lo derrotó Licinio el 30 de abril de 313. Cf. Lactancio, o.c. 46-47.

108 Esto último es, sin duda, arreglo posterior; los Mss ATER conservan todavía el nombre de Licinio.

4 En primer lugar pierde el cuerpo de hoplitas en el que tiene puesta su confianza, mientras los lanceros de su escolta personal lo abandonan indefenso y falto de todo, y se pasan al vencedor. El desgraciado, desnudándose a toda prisa del ornato imperial, que en modo alguno le cuadraba, se desliza entre la muchedumbre cobardemente, como un canalla y sin ánimo viril. Después se fuga y, sustrayéndose con dificultad por los campos y aldeas a las manos de sus enemigos, va vagando de una parte a otra buscando su salvación [109] y mostrando bien a las claras, con los hechos mismos, la fidelidad y verdad de los divinos oráculos en que se dice:

5 *No se salva el rey por su numeroso ejército ni el gigante será salvo por la abundancia de su fuerza. Vano es el caballo para salvarse, y uno no se salvará por su gran potencia. Ved los ojos del Señor puestos sobre los que le temen, los que esperan en su misericordia, para arrancar sus almas de la muerte* [110].

6 Así fue cómo el tirano llegó cubierto de vergüenza a su propio territorio [111], y allí, enfurecido, comenzó por hacer ejecutar a muchos sacerdotes y profetas [112] de los dioses que él antes admiraba y cuyos oráculos le habían incitado a emprender la guerra, acusándoles de impostores, de embaucadores y, sobre todo, de haberse convertido en traidores de su salvación. Luego [113] dio gloria al Dios de los cristianos, y después de haber dispuesto una ley

**4** ἀπόλλυσι δὴ πρῶτον τὸ ἐφ' ᾧ πεποίθει ὁπλιτικόν, τῶν τε ἀμφ' αὐτὸν δορυφόρων γυμνὸν καὶ πάντων ἔρημον αὐτὸν καταλελοιπότων τῷ τε κρατοῦντι προσπεφευγότων, ὑπεκδὺς ὁ δείλαιος ὡς τάχιστα τὸν οὐ πρέποντα αὐτῷ βασιλικὸν κόσμον, δειλῶς καὶ δυσγενῶς καὶ ἀνάνδρως ὑποδύνει τὸ πλῆθος κἄπειτα διαδιδράσκει κρυπταζόμενός τε ἀνὰ τοὺς ἀγροὺς καὶ τὰς κώμας μόλις τῶν πολεμίων τὰς χεῖρας, τὰ τῆς σωτηρίας αὐτῷ προμνώμενος, διέξεισιν, ἔργοις αὐτοῖς εὖ μάλα πιστοὺς καὶ ἀληθεῖς τοὺς θείους ἀποφήνας χρησμούς, ἐν οἷς εἴρηται

**5** «οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ· ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν».

**6** οὕτω δῆτα αἰσχύνης ἔμπλεως ὁ τύραννος ἐπὶ τὰ καθ' ἑαυτὸν ἐλθὼν μέρη, πρῶτα μὲν ἐμμανεῖ θυμῷ πολλοὺς ἱερεῖς καὶ προφήτας τῶν πάλαι θαυμαζομένων αὐτῷ θεῶν, ὧν δὴ τοῖς χρησμοῖς ἀναρριπισθεὶς τὸν πόλεμον ἤρατο, ὡς ἂν γόητας καὶ ἀπατεῶνας καὶ ἐπὶ πᾶσιν προδότας τῆς αὐτοῦ γενομένους σωτηρίας ἀναιρεῖ· εἶτα δὲ δοὺς δόξαν τῷ Χριστιανῶν θεῷ νόμον τε τὸν ὑπὲρ ἐλευθερίας αὐτῶν

[109] Esta descripción se completa con la que hace en VC 1,58, sin olvidar la citada de Lactancio.

[110] Sal 32,16-19.

[111] Según Lactancio (o.c., 49), Maximino todavía logró hacerse fuerte en el desfiladero del Tauro, pero, derrotado una vez más por Licinio, huyó a Tarso, donde quedó completamente cercado.

[112] De esto nada dice Lactancio.

[113] No hay que hacer mucho caso de esta palabra; Maximino debió de publicar el edicto en cuestión antes de verse del todo perdido en Tarso, seguramente con el fin de ganarse a los cristianos contra Licinio cuando aún cabía esperar, es decir, antes de que éste rompiese la barrera del Tauro.

perfectísima y completísima en favor de la libertad de los mismos, acabó inmediatamente su vida con una muerte penosa y sin que le fuera dado un plazo de tiempo [114].

La ley que él había enviado [115] era del tenor siguiente:

## Copia de la traducción de la orden del tirano en favor de los cristianos, traducida de la lengua latina a la griega

7 «El emperador César Cayo Valerio Maximino Germánico Sarmático Augusto Pío Félix Invicto: Que nosotros velamos continuamente y de todas las maneras por el provecho de nuestros provincianos y que nuestra voluntad es proporcionarles lo que más hace prosperar las ventajas de todos y cuanto es de provecho y utilidad comunes, así como lo que se ajusta a la utilidad pública y resulta agradable al parecer de cada uno, creemos que nadie lo ignora, antes bien, creemos que cada cual se atiene a los hechos mismos y es consciente de su evidencia.

8 »Así, pues, cuando antes de esto resultó patente a nuestro conocimiento que, bajo el pretexto ese de que los divinos Diocleciano y Maximiano, nuestros padres, tenían mandado abolir las asambleas de los cristianos [116], los *officiales* [117] habían realizado

τελεώτατα καὶ πληρέστατα διαταξάμενος, δυσθανατήσας αὐτίκα μηδεμιᾶς αὐτῷ χρόνου δοθείσης προθεσμίας τελευτᾷ τὸν βίον. ὁ δὲ καταπεμφθεὶς ὑπ' αὐτοῦ νόμος τοιοῦτος ἦν

ΑΝΤΙΓΡΑΦΟΝ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΤΟΥ ΤΥΡΑΝΝΟΥ ΥΠΕΡ ΧΡΙΣΤΙΑΝΩΝ ΔΙΑΤΑΞΕΩΣ ΕΚ ΡΩΜΑΙΚΗΣ ΓΛΩΤΤΗΣ ΕΙΣ ΤΗΝ ΕΛΛΑΔΑ ΜΕΤΑΛΗΦΘΕΙΣΗΣ

7 «Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλέριος Μαξιμῖνος, Γερμανικός, Σαρματικός, εὐσεβὴς εὐτυχὴς ἀνίκητος Σεβαστός. κατὰ πάντα τρόπον ἡμᾶς διηνεκῶς τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρησίμου προνοεῖσθαι καὶ ταῦτα αὐτοῖς βούλεσθαι παρέχειν, οἷς τὰ λυσιτελῆ πάντων μάλιστα κατορθοῦται καὶ ὅσα τῆς λυσιτελείας καὶ τῆς χρησιμότητός ἐστιν τῆς κοινῆς αὐτῶν καὶ ὁποῖα πρὸς τὴν δημοσίαν λυσιτέλειαν ἁρμόζει καὶ ταῖς ἑκάστων διανοίαις προσφιλῆ τυγχάνει, οὐδένα ἀγνοεῖν, ἀλλ' ἕκαστον ἀνατρέχειν ἐπ' αὐτὸ τὸ γινόμενον γινώσκειν τε ἕκαστον τῶν ἀνθρώπων καὶ ἔχειν ἐν ἑαυτῷ δῆλον εἶναι πιστεύομεν.

8 »ὁπότε τοίνυν πρὸ τούτου δῆλον γέγονεν τῇ γνώσει τῇ ἡμετέρᾳ ἐκ ταύτης τῆς προφάσεως ἐξ ἧς κεκελευσμένον ἦν ὑπὸ τῶν θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῶν γονέων τῶν ἡμετέρων, τὰς συνόδους τῶν Χριστιανῶν ἐξῃρῆσθαι, πολλοὺς σεισμοὺς καὶ ἀποστερήσεις ὑπὸ τῶν ὀφφικιαλίων γεγενῆσθαι, καὶ εἰς τοὐπιὸν δὲ τοῦτο προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων, ὧν μάλιστα πρόνοιαν τὴν προσήκουσαν γίνεσθαι σπου-

[114] Es Lactancio quien refiere la muerte de Maximino (*De mort. pers.* 49).

[115] Lactancio no la mienta, pero eso no arguye de modo concluyente contra su autenticidad.

[116] Es lo que disponía el primer edicto; aunque ni Eusebio ni Lactancio mencionan esta cláusula, a ella apela el juez Baso cuando interroga al mártir Felipe, obispo de Heraclea según su *Passio* 4 (D. RUIZ BUENO, *Actas de los Mártires*: BAC 75 [Madrid 1951] p.1060).

[117] Maximino trata de cargar la responsabilidad sobre los «officiales» o funcionarios civiles superiores de su servicio; cf. LACTANCIO, o.c., 49,6.

muchos perjuicios y expoliaciones y que, en lo sucesivo, esto mismo se había extendido en daño de nuestros provincianos (por cuyo digno cuidado nos estamos desviviendo), quedando destruidas las haciendas de los particulares, el pasado año dirigimos cartas a los gobernadores de cada provincia [118] y legislamos lo siguiente: que si alguien quería seguir semejante costumbre o bien la observancia misma de la religión, que no tuviera impedimento en su propósito y que nadie le pusiera estorbos ni se lo prohibiera, y que todos tuvieran facilidad para hacer sin temor ni suspicacia cuanto a cada cual le viniera en gana [119].

9 »Solamente que ahora no ha podido ocultársenos que algunos jueces venían descuidando nuestros mandatos, disponían a nuestros hombres a la duda sobre lo mandado y hacían que se acercaran con mayor vacilación a las mismas prácticas religiosas que eran de su agrado.

10 »Por consiguiente, para eliminar en lo sucesivo toda sospecha y ambigüedad causantes de temor, hemos determinado que se promulgue esta orden, con el fin de que a todos sea manifiesto que, por este regalo nuestro, a quienes quieran tomar parte en semejante secta y religión les es lícito acercarse, de la manera que cada uno quiera, o como más le guste, a aquella religión que haya elegido practicar habitualmente. Y también les queda permitido el construir sus iglesias propias [120].

11 »Mas, para que incluso fuera mayor nuestro regalo, juzgamos digno legislar también lo siguiente: que si algunas casas y campos,

δάζομεν, τῶν οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων, δοθέντων γραμμάτων πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας τῷ παρελθόντι ἐνιαυτῷ ἐνομοθετήσαμεν ἵν' εἴ τις βούλοιτο τῷ τοιούτῳ ἔθει ἢ τῇ αὐτῇ φυλακῇ τῆς θρησκείας ἕπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς προθέσεως τῆς ἑαυτοῦ καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι μηδὲ κωλύεσθαι καὶ εἶναι αὐτοῖς εὐχέρειαν δίχα τινὸς φόβου καὶ ὑποψίας τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει, ποιεῖν.

9 »πλὴν οὐδὲ νῦν λαθεῖν ἡμᾶς ἐδυνήθη ὅτι τινὲς τῶν δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας κελεύσεις καὶ διστάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγματα τὰ ἡμέτερα παρεσκεύασαν καὶ ὀκνηρότερον προσιέναι ταύταις ταῖς θρησκείαις αἷς ἦν ἀρεστὸν αὐτοῖς, ἐποίησαν.

10 »ἵνα τοίνυν εἰς τὸ ἑξῆς πᾶσα ὑποψία ἢ ἀμφιβολία τοῦ φόβου περιαιρεθῇ, τοῦτο τὸ διάταγμα προτεθῆναι ἐνομοθετήσαμεν, ἵνα πᾶσιν δῆλον γένηται ἐξεῖναι τούτοις οἵτινες ταύτην τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι βούλονται, ἐκ ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος βούλεται ἢ ἡδέα αὐτῷ ἐστιν, οὕτως προσιέναι τῇ θρησκείᾳ ταύτῃ ἣν ἐξ ἔθους θρησκεύειν εἵλετο. καὶ τὰ κυριακὰ δὲ τὰ οἰκεῖα ὅπως κατασκευάζοιεν, συγκεχώρηται.

11 »ἵνα μέντοι καὶ μείζων γένηται ἡ ἡμετέρα δωρεά, καὶ τοῦτο νομοθετῆσαι

118 Cf. *supra* 9a, la enviada a Sabino.

119 De estas «liberales» concesiones que dice haber hecho no queda más rastro que la expresada en el rescripto a Sabino (*supra* 9a,8), y además se calla lo referente a «los halagos y exhortaciones» con que pretendía hacer a los cristianos abjurar de su religión (ibid., § 7).

120 Cf. *supra* VII 30,19; VIII 17,9; C. PIETRI, *Recherches sur la Domus ecclesiae:* Revue des Études Augustiniennes 24 (1978) 3-21; pero este «regalo», igual que los demás del edicto, no es más que mera aplicación de lo acordado por Constantino y Licinio en Milán; cf. *infra* X 5,6-11.

propiedad anteriormente de los cristianos por derecho, hubieran venido a caer en posesión legal del fisco por mandato de los nuestros, o se los hubiera apropiado alguna ciudad, bien en pública subasta o bien porque se dieron en obsequio a alguien, todo ello mandamos que sea restituido al antiguo derecho de propiedad de los cristianos, con el fin de que, incluso en esto, perciban todos nuestra piedad y nuestra providencia».

12 Estas son las palabras del tirano, que llegaron con casi un año [121] de retraso sobre los edictos que él mismo había hecho fijar en estelas contra los cristianos. Y a los que hacía bien poco sucumbían ante sus propios ojos a fuego y a hierro y como pasto de fieras y aves de rapiña, y sufrían toda especie de castigo, de suplicio y de muerte del modo más miserable, como si se tratara de ateos e impíos, a éstos declaraba él mismo ahora observantes de la religión y les permitía construir iglesias. ¡Y hasta el tirano en persona confiesa que tienen parte en ciertos derechos!

13 Y cuando hubo realizado tales confesiones, padeciendo indudablemente menos de lo que merecía padecer, como si por causa de ellas hubiera logrado cierto favor, herido repentinamente por el látigo de Dios [122], sucumbe en la segunda refriega de la guerra.

14 Pero no tuvo la muerte que acontece a los generales supremos de la guerra que, batiéndose varonilmente una y otra vez

κατηξιώσαμεν ἵνα εἴ τινες οἰκίαι καὶ χωρία ⟨ἃ⟩ τοῦ δικαίου τοῦ τῶν Χριστιανῶν πρὸ τούτου ἐτύγχανον ὄντα, ἐκ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς τὸ δίκαιον μετέπεσεν τοῦ φίσκου ἢ ὑπό τινος κατελήφθη πόλεως, εἴτε διάπρασις τούτων γεγένηται εἴτε εἰς χάρισμα δέδοταί τινι, ταῦτα πάντα εἰς τὸ ἀρχαῖον δίκαιον τῶν Χριστιανῶν ἀνακληθῆναι ἐκελεύσαμεν, ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας εὐσεβείας καὶ τῆς προνοίας αἴσθησιν πάντες λάβωσιν».

**12** αὗται τοῦ τυράννου φωναί, οὐδ' ὅλον ἐνιαυτόν τῶν κατὰ Χριστιανῶν ἐν στήλαις ἀνατεθειμένων αὐτῷ διαταγμάτων ὑστερήσασαι, καὶ παρ' ᾧ γε μικρῷ πρόσθεν δυσσεβεῖς ἐδοκοῦμεν καὶ ἄθεοι καὶ παντὸς ὄλεθροι τοῦ βίου, ὡς μὴ ὅτι γε πόλιν, ἀλλ' οὐδὲ χώραν οὐδ' ἐρημίαν οἰκεῖν ἐπιτρέπεσθαι, παρὰ τούτῳ διατάξεις ὑπὲρ Χριστιανῶν καὶ νομοθεσίαι συνετάττοντο, καὶ οἱ πρὸ βραχέος πυρὶ καὶ σιδήρῳ θηρίων τε καὶ οἰωνῶν βορᾷ πρὸ ὀφθαλμῶν αὐτοῦ διαφθειρόμενοι καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἀπαλλαγῆς τε βίου οἰκτρότατα ὡς ἂν ἄθεοι καὶ δυσσεβεῖς ὑπομένοντες, οὗτοι νῦν πρὸς τοῦ αὐτοῦ καὶ θρησκεύειν ὁμολογοῦνται θρησκείαν καὶ ἐπισκευάζειν κυριακὰ ἐπιτρέπονται, καὶ δικαίων τινῶν αὐτοῖς μετεῖναι αὐτὸς ὁ τύραννος ὁμολογεῖ.

**13** καὶ δὴ τοιαῦτα ἐξομολογησάμενος, ὥσπερ τινὸς τυχὼν εὐεργεσίας τούτων δὴ αὐτῶν ἕνεκα, ἧττον ἢ παθεῖν αὐτὸν χρῆν δήπου παθών, ἀθρόᾳ θεοῦ πληγεὶς μάστιγι ἐν δευτέρᾳ τοῦ πολέμου συμβολῇ καταστρέφει·

**14** γίνεται δ' αὐτῷ τὰ τῆς καταστροφῆς οὐχ οἷα στρατηγοῖς πολεμάρχαις ὑπὲρ ἀρετῆς καὶ γνωρίμων πολλάκις ἀνδριζομένοις ἐν πολέμῳ τὴν εὐκλεῆ τελευ-

[121] M. R. Cataudella *(Due luoghi eusebiani (Hist. Eccl. IX-X,12; Mart. Pal. III 1):* Helikon 6 [1966] 672-678) propone la siguiente corrección: οὐδ' ὅλον [δεύτερον] ἐνιαυτόν.

[122] La expresión, que ya encontramos aplicada a Herodes *(supra* I 8,5) y que se repite *infra* § 14, indica una enfermedad grave, mortal incluso. La frase que sigue no quiere decir que cayera en la batalla, pues va a afirmar lo contrario, sino que el hecho ocurrió en el tiempo en que tuvo lugar el segundo encuentro.

por la virtud y por sus amigos, sufrieron con valentía un fin glorioso en la batalla; éste, bien al contrario, como impío y hostil a Dios, recibió el castigo merecido cuando se hallaba en casa y andaba ocultándose mientras su ejército seguía todavía en la llanura combatiendo por él [123]. Herido repentinamente en todo su cuerpo por el látigo de Dios, cayó de bruces como empujado por atroces sufrimientos y vivísimos dolores. Devorado por el hambre y enteramente consumidas sus carnes por un fuego invisible y de origen divino, toda apariencia de su antigua forma desapareció como aniquilada y quedó únicamente en los puros huesos, como un espectro desde largo tiempo reducido a esqueleto; así que quienes le rodeaban no podían por menos de pensar que el cuerpo se le había convertido en sepulcro del alma, enterrada ya en un cadáver en completa descomposición.

15 Pero al abrasarle mucho más terriblemente la calentura desde lo hondo de los tuétanos, los ojos se le saltaron y, cayendo de sus propias cuencas, le dejaron ciego [124]. El, respirando todavía, pese a ello, confesaba al Señor [125] y llamaba a la muerte. Y después de confesar que esto lo padecía con toda justicia por causa de su exceso demencial contra Cristo, entregó su alma [126].

τὴν εὐθαρσῶς ὑπομεῖναι συνέβη, ἀλλά γάρ ἅτε τις δυσσεβὴς καὶ θεομάχος, τῆς παρατάξεως ἔτ' αὐτῷ πρὸ τοῦ πεδίου συνεστώσης οἴκοι μένων αὐτὸς καὶ κρυπταζόμενος, τὴν προσήκουσαν τιμωρίαν ὑπέχει, ἀθρόᾳ θεοῦ πληγεὶς καθ' ὅλου τοῦ σώματος μάστιγι, ὡς ἀλγηδόσιν δειναῖς καὶ περιωδυνίαις ἐλαυνόμενον πρηνῆ καταπεσεῖν, λιμῷ φθειρόμενον τάς τε σάρκας ὅλας ἀοράτῳ καὶ θεηλάτῳ πυρὶ τηκόμενον, ὡς διαρρεύσαντα τὸ μὲν πᾶν εἶδος τῆς παλαιᾶς μορφῆς ἀφανισθῆναι, ξηρῶν δ' αὐτὸ μόνον ὀστέων οἷόν τι μακρῷ χρόνῳ κατεσκελετευμένον εἴδωλον ὑπολειφθῆναι, ὡς μηδ' ἄλλο τι νομίζειν τοὺς παρόντας ἢ τάφον αὐτῷ τῆς ψυχῆς γεγονέναι τὸ σῶμα, ἐν ἤδη νεκρῷ καὶ παντελῶς ἀπορρεύσαντι κατορωρυγμένης.

**15** σφοδρότερον δ' ἔτι μᾶλλον τῆς θέρμης αὐτὸν ἐκ βάθους μυελῶν καταφλεγούσης, προπηδῶσιν μὲν αὐτῷ τὰ ὄμματα καὶ τῆς ἰδίας λήξεως ἀποπεσόντα πηρὸν αὐτὸν ἀφίησιν, ὁ δ' ἐπὶ τούτοις ἔτ' ἐμπνέων ἀνθομολογούμενος τῷ κυρίῳ θάνατον ἐπεκαλεῖτο, καὶ τὸ πανύστατον ἐνδίκως ταῦτα τῆς κατὰ τοῦ Χριστοῦ παροινίας χάριν ὁμολογήσας παθεῖν, τὴν ψυχὴν ἀφίησιν.

[123] Cf. *supra* § 6. A pesar de lo que allí se dice, para Eusebio está claro que Maximino, antes de morir, todavía pudo reorganizar sus tropas y lanzarlas a una segunda batalla; seguramente se trata de su resistencia en el desfiladero del Tauro, coincidiendo así con Lactancio (o.c., 49,1-2). Pero de nuevo abandonó a su ejército en plena lucha, para huir y refugiarse finalmente en Tarso.

[124] Esta muerte, que tanto parecido tiene con la de Herodes (cf. *supra* I 8,5) y con la de Galerio *(supra* VIII 16,4), según la descripción de Eusebio, participa de todas las características retóricas del género, lo mismo que en VC 1,58-59. Según Eusebio—y con él Zósimo y el *Epítome* de A. Víctor—, fue una muerte debida a una enfermedad natural, aunque terrible. Lactancio *(De mort. pers.* 49) habla, en cambio, de una embriaguez excesiva, acompañada de envenenamiento. Posiblemente, dadas ciertas coincidencias y síntomas, no haya contradicción. De todos modos, Eusebio parece refundir en una sola dos descripciones diferentes, y casi contradictorias, de dicha muerte.

[125] Lo mismo afirma Lactancio (o.c., 49,6).

[126] Era el verano de 313.

# 11

## [De la destrucción final de los enemigos de la religión]

1 Muerto de esta manera Maximino, único superviviente de los enemigos de la religión y que manifestó ser el peor de todos, las iglesias surgían, por la gracia de Dios todopoderoso, reconstruidas desde los cimientos, y la doctrina de Cristo, rutilante para gloria del Dios del universo, iba alcanzando una libertad confiada, mayor que la de antes, mientras los impíos enemigos de la religión se iban colmando de vergüenza y deshonra extremas.

2 Efectivamente, Maximino mismo fue el primero al que los emperadores proclamaron enemigo común de todos, y por medio de edictos públicos, para general conocimiento, se le denunció como tirano impiísimo, abominabilísimo e inimicísimo de Dios. De las pinturas que en cada ciudad estaban dedicadas en honor suyo y de sus hijos, las unas, arrojadas de lo alto contra el suelo, se deshicieron en pedazos; y las otras, ennegrecidas las caras con sombríos colores, quedaban inservibles [127]. Y lo mismo las estatuas, todas las que estaban erigidas en honor suyo: también fueron derribadas y se hicieron pedazos, quedando expuestas a la risa y a la burla de los que querían insultarlas y ensañarse con ellas [128].

3 Y luego también a los restantes enemigos de la religión se les fue despojando de todos los honores, e incluso se mataba a todos los partidarios de Maximino [129], muy especialmente a los que, habiendo sido honrados por él con los honores del gobierno, por adularle se habían ensañado con violencia contra nuestra doctrina.

ΙΑ'

1 Οὕτω δῆτα Μαξιμίνου ἐκποδὼν γενομένου, ὃς μόνος ἔτι λείπων τῶν τῆς θεοσεβείας ἐχθρῶν, ἁπάντων χείριστος ἀναπέφηνεν, τὰ μὲν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως ἐκ θεμελίων χάριτι θεοῦ τοῦ παντοκράτορος ἠγείρετο ὅ τε τοῦ Χριστοῦ λόγος, εἰς δόξαν τοῦ τῶν ὅλων θεοῦ διαλάμπων, μείζονα τῆς πρόσθεν ἀπελάμβανεν παρρησίαν, τὰ δὲ τῆς δυσσεβείας τῶν τῆς θεοσεβείας ἐχθρῶν αἰσχύνης ἐσχάτης καὶ ἀτιμίας ἐνεπίμπλατο.

2 πρῶτός τε γὰρ Μαξιμῖνος αὐτὸς κοινὸς ἁπάντων πολέμιος ὑπὸ τῶν κρατούντων ἀναγορευθείς, δυσσεβέστατος καὶ δυσωνυμώτατος καὶ θεομισέστατος τύραννος διὰ προγραμμάτων δημοσίων ἀνεστηλίτευτο, γραφαί τε ὅσαι εἰς τιμὴν αὐτοῦ τε καὶ τῶν αὐτοῦ παίδων κατὰ πᾶσαν ἀνέκειντο πόλιν, αἳ μὲν ἐξ ὕψους εἰς ἔδαφος ῥιπτούμεναι συνετρίβοντο, αἳ δὲ τὰς προσόψεις ἠχρειοῦντο σκοτεινῷ χρώματι καταμελανούμεναι, ἀνδριάντων τε ὁμοίως ὁπόσοι εἰς αὐτοῦ τιμὴν διανεστήκεσαν, ὡσαύτως ῥιπτούμενοι συνετρίβοντο, γέλως καὶ παιδιὰ τοῖς ἐνυβρίζειν καὶ ἐμπαροινεῖν ἐθέλουσιν ἐκκείμενοι.

3 εἶτα δὲ καὶ τῶν ἄλλων τῆς θεοσεβείας ἐχθρῶν πᾶσαι τιμαὶ περιῃροῦντο, ἐκτείνοντο δὲ καὶ πάντες οἱ τὰ Μαξιμίνου

[127] Algunas de estas pinturas o retratos, mutilados y estropeados, pudo verlos todavía San Gregorio Nacianceno (*Orat. IV cont. Julian.* 1,96).

[128] Estamos ante un caso patente y por demás interesante de «damnatio memoriae» de un emperador.

[129] Cf. Lactancio, o.c., 50.

4 Tal era Peucetio, para todos el más honrado por él, el más respetado y el de más confianza de sus compañeros, a quien él había nombrado cónsul por dos y tres veces, y prefecto de todas las cuentas [130]. Y lo mismo Culciano, que había ascendido por todos los grados del gobierno y que también se gloriaba de innumerables matanzas de cristianos en Egipto [131]. Y además de éstos había no pocos otros, mediante los cuales sobre todo se había afirmado y acrecentado la tiranía de Maximino.

5 Es de saber que también a Teotecno [132] lo reclamaba la justicia, que no olvidaba lo que él había llevado a cabo contra los cristianos. Efectivamente, porque había erigido un ídolo en Antioquía pensaba que sus días serían felices, y realmente hasta Maximino le había considerado digno de un cargo de gobierno.

6 Pero cuando Licinio penetró en la ciudad de Antioquía y emprendió la búsqueda de los embaucadores, hizo dar tormento a profetas y sacerdotes del recién erigido ídolo, tratando de averiguar por qué razón habían fingido el engaño. Como, apretados por los tormentos, no les era posible seguir ocultándolo, declararon que todo el misterio era un engaño urdido por industria de Teotecno [133]. Entonces impuso a todos el castigo que habían merecido y entregó a la muerte primero al mismo Teotecno, y luego también a sus cómplices en el embaucamiento, tras numerosos suplicios.

7 A todos éstos vinieron a añadirse incluso los hijos de Maxi-

φρονοῦντες, ὅσοι μάλιστα τῶν ἐν ἀρχικοῖς ἀξιώμασιν ὑπ' αὐτοῦ τετιμημένοι τῇ πρὸς αὐτὸν κολακείᾳ σοβαρῶς ἐνεπαροίνησαν τῷ καθ' ἡμᾶς λόγῳ·

4 οἷος ἦν ὁ παρὰ πάντας αὐτῷ τιμιώτατος καὶ αἰδεσιμώτατος ἑταίρων τε γνησιώτατος Πευκέτιος, δὶς ὕπατος καὶ τρὶς ὕπατος καὶ τῶν καθόλου λόγων ἔπαρχος πρὸς αὐτοῦ καθεσταμένος, Κουλκιανός τε ὡσαύτως διά πάσης ἀρχικῆς προελθὼν ἐξουσίας, ὁ καὶ αὐτός μυρίοις τοῖς κατ' Αἴγυπτον Χριστιανῶν ἐλλαμπρυνάμενος αἵμασιν, ἄλλοι τε ἐπὶ τούτοις οὐκ ὀλίγοι, δι' ὧν μαλιστα τὰ τῆς Μαξιμίνου τυραννίδος ἐκραταιοῦτό τε καὶ ηὔξετο.

5 ἐκάλει δέ ἄρα καὶ Θεότεκνον ἡ δίκη, οὐδαμῶς τὰ κατά Χριστιανῶν αὐτῷ πεπραγμένα λήθῃ παραδιδοῦσα. ἐπὶ μὲν γάρ τῷ κατ' Ἀντιόχειαν ἱδρυθέντι πρὸς αὐτοῦ ξοάνῳ δόξας εὐημερεῖν, ἤδη καὶ ἡγεμονίας ἠξίωτο παρὰ Μαξιμίνου,

6 Λικίννιος δ' ἐπιβὰς τῆς Ἀντιοχέων πόλεως φώραν τε γοήτων ποιησάμενος, τοὺς τοῦ νεοπαγοῦς ξοάνου προφήτας καὶ ἱερεῖς βασάνοις ᾐκίζετο, τίνι λόγῳ τὴν ἀπάτην καθυποκρίνοιντο, πυνθανόμενος· ὡς δ' ἐπικρύπτεσθαι αὐτοῖς πρὸς τῶν βασάνων συνελαυνομένοις ἀδύνατον ἦν, ἐδήλουν δὲ τὸ πᾶν μυστήριον ἀπάτην τυγχάνειν τέχνῃ τῇ Θεοτέκνου μεμηχανημένην, τοῖς πᾶσιν τὴν ἀξίαν ἐπιθεὶς δίκην, πρῶτον αὐτὸν Θεότεκνον, εἶτα δὲ καὶ τοὺς τῆς γοητείας κοινωνοὺς μετὰ πλείστας ὅσας αἰκίας θανάτῳ παραδίδωσιν.

7 τούτοις ἅπασιν προσετίθεντο καὶ οἱ Μαξιμίνου παῖδες, οὓς ἤδη καὶ τῆς

[130] Es decir, «magister summarum rationum». Es todo lo que se sabe de Peucetio (o Peucedio, como le llama Rufino).

[131] Claudio Culciano, prefecto de Egipto, fue el que condenó a Fileas y a Filoromo (cf. *supra* VIII 9,7; 10,6), según informan las *Actas* de su proceso. Cf. D. Ruiz Bueno, o.c., p.1149-1157.

[132] Cf. *supra* 2-3.

[133] A este interrogatorio alude Eusebio en su PE 4,2,11, como a cosa conocida; cf. *supra* 2.

mino, a los que ya él tenía hechos socios de la dignidad imperial y de la dedicatoria en retratos y en pinturas [134]. Y los que anteriormente se jactaban de parentesco con el tirano [135] y estaban prestos a avasallar a todos los hombres, sufrieron las mismas penas que los susodichos, junto con la deshonra extrema, ya que no habían aceptado la lección ni conocían ni comprendían la exhortación que en las Sagradas Escrituras va repitiendo:

**8** *No estéis confiados en los príncipes ni en los hijos de los hombres, en los que no hay salvación. Su espíritu saldrá y se volverá a su tierra. En aquel día perecerán todos sus designios* [136].

(En todas las cosas se den gracias a Dios todopoderoso y rey del universo y también muy numerosas al Salvador y Redentor de nuestras almas, Jesucristo, por medio del cual estamos continuamente suplicando que nos conserve segura y firme la paz, al abrigo tanto de las perturbaciones de fuera como de las de la mente).

[Así barridos los impíos, Constantino y Licinio guardaron para sí solos la parte correspondiente del Imperio, segura e indiscutible. Estos, después de eliminar del mundo antes que nada la enemistad contra Dios, conscientes de los bienes que Dios les había otorgado, demostraron su amor a la virtud, su amor a Dios, su piedad y gra-

βασιλικῆς τιμῆς τῆς τε ἐν πίναξιν καὶ γραφαῖς ἀναθέσεως πεποίητο κοινωνούς· καὶ οἱ συγγένειαν δὲ τοῦ τυράννου τὸ πρὶν αὐχοῦντες καὶ πάντας ἀνθρώπους καταδυναστεύειν ἐπηρμένοι τὰ αὐτὰ τοῖς προδεδηλωμένοις μετὰ τῆς ἐσχάτης ἀτιμίας ἔπασχον, ἐπεὶ μὴ ἐδέξαντο παιδείαν μηδὲ ἔγνωσαν μηδὲ συνῆκαν τὴν φάσκουσαν

**8** ἐν ἱεροῖς λόγοις παρακέλευσιν μὴ πεποίθετε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστιν σωτηρία· ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἀποστρέψει εἰς τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν. (θεῷ δὴ χάρις ἐπὶ πᾶσιν τῷ παντοκράτορι καὶ βασιλεῖ τῶν ὅλων, πλείστη δὲ καὶ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν ἡμῶν Ἰησοῦ Χριστῷ, δι' οὗ τὰ τῆς εἰρήνης ἔκ τε τῶν ἔξωθεν ὀχληρῶν καὶ τῶν κατὰ διάνοιαν βέβαια καὶ ἀσάλευτα φυλάττεσθαι ἡμῖν διὰ παντὸς εὐχόμεθα.)

[οὕτω δῆτα τῶν δυσσεβῶν ἐκκαθαρθέντων, μόνοις ἐφυλάττετο τὰ τῆς προσηκούσης βασιλείας βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ καὶ Λικιννίῳ· οἱ τῶν πρόσθεν ἀπάντων ἐκκαθάραντες τοῦ βίου τὴν θεοεχθρίαν, τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένως τὸ φιλάρετον καὶ θεοφιλὲς τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον διὰ τῆς ὑπὲρ Χριστιανῶν ἐνεδείξαντο νομοθεσίας.]

[134] Esto parece indicar que Maximino había hecho césares a sus hijos, que serían más de uno; pero Lactancio (o.c., 50,6) dice solamente que Licinio dio muerte a un hijo de ocho años y a una hija de siete.

[135] Lactancio (*De mort. pers.* 50-51) da los nombres de los principales: además del hijo y de la hija de Maximino (cf. nota anterior), están Candidiano, hijo de Galerio; Severiano, hijo de Severo; incluso Prisca, la viuda de Diocleciano, y Valeria, su hija, viuda de Galerio.

[136] Sal 145,3-4. Los Mss BD terminan este libro IX con la doxología que va entre paréntesis; en cambio, el grupo ATERM la dejan para el comienzo del libro X, mientras que S la pone en las dos partes. El grupo ATER, representante de una edición anterior, y M terminan el libro IX con el pasaje que, tanto en el texto como en la traducción, hemos encerrado entre corchetes.

titud para con la divinidad por medio de su legislación en favor de los cristianos] [137].

[137] Sin duda el llamado «Edicto de Milán», cuya transcripción, en principio debía de seguir para cerrar el libro—como el edicto de Galerio cierra el libro VIII—, pero que finalmente fue desplazado al capítulo 5 del nuevo libro X; cf. R. LAQUEUR, *Eusebius als Historiker seiner Zeit* (Berlín 1929) p.185-191; P. P. JOANNOU, *La législation impériale et la christianization de l'Empire romain (311-476)* = Orientalia Christiana analecta, 192 (Roma 1972); K. BAUS, H.-G. BECK (etc.), *The Imperial Church from Constantine to the early Middle ages* = History of the Church, 2 (Londres 1980); G. DAHYOT-DOLIVET, *L'Église à l'époque impériale (313 à 590)*: Apollinaris 55 (1982) 846-870.

# *LIBRO DECIMO*

Y el libro décimo de la *Historia Eclesiástica* contiene lo siguiente:

1. De la paz que Dios nos otorgó.
2. De la restauración de las iglesias.
3. De las dedicaciones en todo lugar.
4. Panegírico ante el esplendor de nuestros asuntos.
[5. Copias de leyes imperiales referidas a los cristianos.
6. De la inmunidad de los clérigos] [1].
7. De la ulterior perversidad de Licinio y de su muerte.
8. De la victoria de Constantino y de lo que éste procuró a los súbditos del poder romano.

I'

Τάδε καὶ ἡ δεκάτη περιέχει βίβλος τῆς Ἐκκλησιαστικῆς ἱστορίας

Α' Περὶ τῆς ἐκ θεοῦ πρυτανευθείσης ἡμῖν εἰρήνης.
Β' Περὶ τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως.
Γ' Περὶ τῶν κατὰ πάντα τόπον ἐγκαινίων.
Δ' Πανηγυρικὸς ἐπὶ τῇ τῶν πραγμάτων φαιδρότητι.
[Ε' Ἀντίγραφα βασιλικῶν νόμων περὶ τῶν Χριστιανῶν προσηκόντων.
ς' Περὶ τῆς τῶν κληρικῶν ἀλειτουργησίας.]
Ζ' Περὶ τῆς Λικιννίου εἰς ὕστερον κακοτροπίας καὶ τῆς καταστροφῆς αὐτοῦ.
Η' Περὶ τῆς νίκης Κωνσταντίνου καὶ τῶν ὑπ' αὐτοῦ τοῖς ὑπὸ τὴν Ῥωμαίων ἐξουσίαν ὑπαρξάντων.

## 1

### [De la paz que Dios nos otorgó]

1 En todas las cosas se den gracias a Dios todopoderoso y rey del universo, y también muy numerosas al Salvador y Redentor de nuestras almas, Jesucristo, por medio del cual estamos continuamente suplicando que nos conserve segura y firme la paz, al abrigo tanto de las perturbaciones de fuera como de las de la mente.

Α'

1 Θεῷ δὴ χάρις ἐπὶ πᾶσιν τῷ παντοκράτορι καὶ βασιλεῖ τῶν ὅλων, πλείστη δὲ καὶ τῷ σωτῆρι καὶ λυτρωτῇ τῶν ψυχῶν ἡμῶν Ἰησοῦ Χριστῷ, δι' οὗ τὰ τῆς εἰρήνης ἔκ τε τῶν ἔξωθεν ὀχληρῶν καὶ τῶν κατὰ διάνοιαν βέβαια καὶ ἀσάλευτα φυλάττεσθαι ἡμῖν διὰ παντὸς εὐχόμεθα.

[1] Los títulos 5-6 se añadieron tomándolos de una edición anterior. El libro, tras su última revisión, comprende 9 capítulos; la diferencia respecto del presente sumario comienza en el capítulo 6. Los Mss ER dan sendos sumarios diferentes en todo; cf. Schwartz, 2 p.854-855.

2 Y al añadir aquí este libro décimo [2] de la *Historia Eclesiástica* a los que ya van por delante, junto con las súplicas, vamos a dedicártelo a ti, Paulino [3], sacratísimo para mí, invocándote como sello que sanciona la obra toda.

3 Es natural que, siendo un número perfecto [4], insertemos aquí el discurso perfecto y panegírico de la restauración de las iglesias, obedeciendo al Espíritu divino, que exhorta de la siguiente manera: *Cantad al Señor un cántico nuevo, porque hizo maravillas. Lo salvó su derecha y su santo brazo. El Señor dio a conocer su salvación; delante de las naciones reveló su justicia* [5].

4 Y, en verdad, respondiendo al oráculo que lo mandó, cantemos ahora el cántico nuevo por medio de este libro, porque, efectivamente, después de aquellos espectáculos y relatos sombríos y espantosos, ahora se nos ha considerado dignos de contemplar tales maravillas y de celebrar grandes solemnidades, como muchos de nuestros antepasados, realmente justos y mártires de Dios, desearon ver sobre la tierra, y no vieron; oír, y no oyeron [6].

5 Pero ellos, apresurándose con toda rapidez, alcanzaron bienes mucho mejores, arrebatados hasta los mismos cielos y el paraíso de las divinas delicias [7]. Nosotros, en cambio, aun confesando que los bienes presentes son mayores de lo que merecemos, estamos en exceso estupefactos por la gracia y magnificencia de su autor, y lo admiramos con toda la fuerza del alma, como es justo,

**2** ἅμα δέ εὐχαῖς καὶ τὸν δέκατον ἐν τούτῳ τοῖς προδιεξοδευθεῖσιν τῆς Ἐκκλησιαστικῆς ἱστορίας ἐπιθέντες τόμον, σοὶ τοῦτον ἐπιγράψομεν, ἱερώτατέ μοι Παυλῖνε, ὥσπερ ἐπισφράγισμά σε τῆς ὅλης ὑποθέσεως ἀναβοωμενοι,

**3** εἰκότως δ' ἐν ἀριθμῷ τελείῳ τὸν τέλειον ἐνταῦθα καὶ πανηγυρικὸν τῆς τῶν ἐκκλησιῶν ἀνανεώσεως λόγον κατατάξομεν, θείῳ πνεύματι πειθαρχοῦντες ὧδέ πως ἐγκελευομένῳ ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν· ἔσωσεν αὐτῷ ἡ δεξιὰ αὐτοῦ καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ· ἐγνώρισεν κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ.

**4** καὶ δὴ τῷ λογίῳ προστάττοντι τὸ καινόν ᾆσμα διὰ τοῦδε νῦν ἀκολούθως ἐπιφωνῶμεν ὅτι δὴ μετὰ τὰς δεινὰς καὶ σκοτεινὰς ἐκείνας ὄψεις τε καὶ διηγήσεις τοιαῦτα νῦν ὁρᾶν καὶ τοιαῦτα πανηγυρίζειν ἠξιώθημεν, οἷα τῶν πρὸ ἡμῶν πολλοὶ τῷ ὄντι δίκαιοι καὶ θεοῦ μάρτυρες ἐπεθύμησαν ἐπὶ γῆς ἰδεῖν, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, καὶ οὐκ ἤκουσαν.

**5** ἀλλ' οἳ μὲν ᾗ τάχος σπεύσαντες τῶν πολὺ κρειττόνων ἔτυχον ἐν αὐτοῖς οὐρανοῖς καὶ παραδείσῳ τῆς ἐνθέου τρυφῆς ἀναρπασθέντες, ἡμεῖς δὲ καὶ τάδε μείζονα ἢ καθ' ἡμᾶς ὑπάρχειν ὁμολογοῦντες, ὑπερεκπεπλήγμεθα μὲν τῆς τοῦ αἰτίου μεγαλοδωρεᾶς τὴν χάριν, θαυμάζομεν δὲ εἰκότως ὅλῃ ψυχῆς δυνάμει σέβοντες καὶ ταῖς ἀναγράπτοις προρρή-

[2] Cf. R. Laqueur, *Eusebius als Historiker seiner Zeit* (Berlín 1929) p.192-209.

[3] A Paulino dedicó Eusebio también su *Onomasticon*. Presbítero de Antioquía (cf. *Contra Marcellum* 1,4,2). Paulino era obispo de Tiro el año 313 (cf. *infra* 4,1ss) y quizás antes. Más tarde será trasladado a la sede de Antioquía.

[4] Eusebio pone de relieve la perfección de su HE—y en especial su discurso panegírico—, subrayando que ha alcanzado en número de libros el número perfecto: diez.

[5] Sal 97,1-2.

[6] Cf. Mt 13,17.

[7] Cf. 2 Cor 12,2-4; Gén 2,15.

venerando y atestiguando la verdad de las predicciones de la Escritura, en la que se dice:

6 *Venid y ved las obras del Señor, los prodigios que hizo sobre la tierra eliminando guerras hasta los confines de la tierra. Quebrará el arco y romperá el arma, y quemará en el fuego el oblongo escudo* [8]. Regocijándonos en estas maravillas, claramente realizadas en bien nuestro, continuemos nuestro relato.

7 Había desaparecido, de la manera que hemos dicho, toda la raza de aborrecedores de Dios y repentinamente se había borrado de la vista de los hombres, tanto que una vez más tenía cumplimiento la palabra divina [9] que dice: *Vi a un impío enaltecido y encumbrado como los cedros del Líbano. Y volví a pasar, y mirad, ¡ya no estaba! Y busqué su lugar, y no lo hallé* [10].

8 Pero ya en adelante, un día esplendoroso y radiante, sin que nube alguna le hiciera sombra, iba iluminando con sus rayos de luz celestial a las iglesias de Cristo por el universo entero, y ni siquiera a los de fuera de nuestra cofradía [11] les impedía envidia alguna participar, si no de iguales bienes, sí al menos de irradiación y comunicación de los que se nos habían otorgado por parte de Dios.

σεσιν ἀλήθειαν ἐπιμαρτυροῦντες, δι' ὧν εἴρηται

6 δεῦτε καὶ ἴδετε τὰ ἔργα κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς· τόξον συντρίψει καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί· ἐφ' οἷς ἐναργῶς εἰς ἡμᾶς πεπληρωμένοις χαίροντες, τὸν ἐφεξῆς συνείρωμεν λόγον.

7 Ἠφάνιστο μὲν δὴ καθ' ὃν δεδήλωται τρόπον πᾶν τὸ τῶν θεομισῶν γένος καὶ τῆς ἀνθρώπων ἀθρόως ὄψεως οὕτως ἐξαλήλειπτο, ὡς πάλιν ῥῆμα θεῖον τέλος ἔχειν τὸ λέγον· εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ὑπεραιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα τὸν τόπον αὐτοῦ, καὶ οὐχ εὑρέθη·

8 ἡμέρα δὲ λοιπὸν ἤδη φαιδρὰ καὶ διαυγής, μηδενὸς νέφους αὐτὴν ἐπισκιάζοντος, φωτὸς οὐρανίου βολαῖς ἀνὰ τὴν οἰκουμένην ἅπασαν ταῖς ἐκκλησίαις τοῦ Χριστοῦ κατηύγαζεν, οὐδέ τις ἦν καὶ τοῖς ἔξωθεν τοῦ καθ' ἡμᾶς θιάσου φθόνος συναπολαύειν εἰ μὴ τῶν ἴσων, ἀπορροῆς δ' οὖν ὅμως καὶ μετουσίας τῶν θεόθεν ἡμῖν πρυτανευθέντων.

[8] Sal 45,9-10.
[9] Cf. Lc 22,37.
[10] Sal 36,35-36.
[11] Eusebio emplea la palabra θίασος, término con que en griego clásico y helenístico se designaba a los grupos o asociaciones que celebraban con bailes, banquetes y cantos la fiesta de un dios, pero especialmente a los grupos dionisíacos; cf. M.-J. LAGRANGE, *Les mystères. L'orphisme* (París 1937) p.52ss; L. CHRISTOPOULO-MORTOSA, *Darstellungen des Dionysos in der schwarzfigurigen Malerei* (Friburgo 1964) p.15-28. Es evidente que, para Eusebio, tiene sentido metafórico; se sitúa en un plano distinto del corriente.

## 2

### [De la restauración de las iglesias]

1 Así, pues, todos los hombres se vieron libres de la opresión de los tiranos, y una vez alejados de los primeros males, unos de una manera y otros de otra, iban confesando único Dios verdadero al que había combatido en defensa de los hombres piadosos. Pero sobre todo nosotros, los que habíamos puesto nuestras esperanzas en el Cristo de Dios, rebosábamos de un gozo indecible, y para todos florecía una alegría divina en todos los lugares que poco antes se hallaban en ruinas por las impiedades de los tiranos, como si se les viera revivir después de una larga y mortífera devastación. Y los templos surgían de nuevo desde los cimientos hasta una altura imprevista, y recibían una belleza superior en mucho a la de los que anteriormente fueran destruidos.

2 Pero aún hay más: los supremos emperadores[12], con sus continuas legislaciones en favor de los cristianos[13], venían a confirmar, ampliándolas y agrandándolas, las mercedes de la munificencia de Dios. También para los obispos menudeaban cartas personales del emperador, honores y donaciones en dinero. No estará fuera de lugar insertar a su debido tiempo en el presente libro, como en una estela sagrada, sus textos traducidos del latín al griego, con el fin de que se conserven en el recuerdo de toda nuestra posteridad[14].

### B'

1 πᾶσι μὲν οὖν ἀνθρώποις τὰ ἐκ τῆς τῶν τυράννων καταδυναστείας ἐλεύθερα ἦν, καὶ τῶν προτέρων ἀπηλλαγμένοι κακῶν, ἄλλος μόνον ἀληθῆ θεὸν τὸν τῶν εὐσεβῶν ὑπέρμαχον ὡμολόγει· μάλιστα δ' ἡμῖν τοῖς ἐπὶ τὸν Χριστὸν τοῦ θεοῦ τὰς ἐλπίδας ἀνηρτημένοις ἄλεκτος παρῆν εὐφροσύνη καί τις ἔνθεος ἅπασιν ἐπήνθει χαρὰ πάντα τόπον τὸν πρὸ μικροῦ ταῖς τῶν τυράννων δυσσεβείαις ἠριπωμένον ὥσπερ ἐκ μακρᾶς καὶ θανατηφόρου λύμης ἀναβιώσκοντα θεωμένοις νεώς τε αὖθις ἐκ βάθρων εἰς ὕψος ἄπειρον ἐγειρομένους καὶ πολὺ κρείττονα τὴν ἀγλαΐαν τῶν πάλαι πεπολιορκημένων ἀπολαμβάνοντας.

2 ἀλλὰ καὶ βασιλεῖς οἱ ἀνωτάτω συνεχέσι ταῖς ὑπὲρ Χριστιανῶν νομοθεσίαις τὰ τῆς ἐκ θεοῦ μεγαλοδωρεᾶς ἡμῖν εἰς μακρὸν ἔτι καὶ μεῖζον ἐκράτυνον, ἐφοίτα δὲ καὶ εἰς πρόσωπον ἐπισκόποις βασιλέως γράμματα καὶ τιμαὶ καὶ χρημάτων δόσεις· ὧν οὐκ ἀπὸ τρόπου γένοιτ' ἂν κατὰ τὸν προσήκοντα καιρὸν τοῦ λόγου, ὥσπερ ἐν ἱερᾷ στήλῃ, τῇδε τῇ βίβλῳ τὰς φωνὰς ἐκ τῆς 'Ρωμαίων ἐπὶ τὴν 'Ελλάδα γλῶτταν μεταληφθείσας ἐγχαράξαι, ὡς ἂν καὶ τοῖς μεθ' ἡμᾶς ἅπασιν φέροιντο διὰ μνήμης.

[12] Constantino y Licinio; como no escribe sus nombres, en su última revisión dejó Eusebio sin suprimir la referencia a Licinio.

[13] Entre ellas las que reproducirá *infra* 5-7, pero solamente una, el llamado «Edicto de Milán», lleva el nombre de Licinio.

[14] Formarán los capítulos 5-7 de este libro; cf. G. Gottlieb, *Les évêques et les empereurs dans les affaires ecclésiastiques du IV^e siècle:* Museum Helveticum 33 (1976) 38-50.

# 3

## [DE LAS DEDICACIONES EN TODO LUGAR]

1 Además de esto, se ofrecía el espectáculo tan deseado y anhelado por todos nosotros: fiestas de dedicación en cada ciudad, consagraciones de los oratorios recién construidos, concentraciones de obispos para lo mismo, afluencia de gentes de lejanas tierras, disposiciones amistosas de los pueblos entre sí y unión de los miembros del Cuerpo de Cristo [15] en convergencia hacia una única trabazón [16].

2 Es decir, conforme a la predicción profética que misteriosamente indicaba de antemano el porvenir, se iban juntando hueso con hueso, juntura con juntura, y salía adelante, sin engaño, todo lo que la palabra oracular anunciaba mediante enigmas [17].

3 A través de todos los miembros discurría un único poder del Espíritu divino, y una sola era el alma de todos [18], y una misma la pasión por la fe. Y uno era el himno de proclamación de Dios que brotaba de todos. Sí, también había ceremonias perfectas de los dirigentes, funciones litúrgicas de los sacerdotes y ritos de la Iglesia dignos de Dios: aquí con salmodias y demás recitaciones de los textos que se nos han transmitido de parte de Dios, y allá realizando servicios divinos y místicos. Y además estaban los símbolos inefables de la pasión salvadora.

### Γ'

1 Ἐπὶ δὴ τούτοις τὸ πᾶσιν εὐκταῖον ἡμῖν καὶ ποθούμενον συνεκροτεῖτο θέαμα, ἐγκαινίων ἑορταὶ κατὰ πόλεις καὶ τῶν ἄρτι νεοπαγῶν προσευκτηρίων ἀφιερώσεις, ἐπισκόπων ἐπὶ ταὐτὸν συνηλύσεις, τῶν πόρρωθεν ἐξ ἀλλοδαπῆς συνδρομαί, λαῶν εἰς λαοὺς φιλοφρονήσεις, τῶν Χριστοῦ σώματος μελῶν εἰς μίαν συνιόντων ἁρμονίαν ἕνωσις.

2 συνήγετο γοῦν ἀκολούθως προρρήσει προφητικῇ μυστικῶς τὸ μέλλον προσημαινούσῃ ὀστέον πρὸς ὀστέον καὶ ἁρμονία πρὸς ἁρμονίαν καὶ ὅσα θεσπίζων ὁ λόγος δι' αἰνιγμάτων ἀψευδῶς προανετείνατο,

3 μία τε ἦν θείου πνεύματος διὰ πάντων τῶν μελῶν χωροῦσα δύναμις καὶ ψυχὴ τῶν πάντων μία καὶ προθυμία πίστεως ἡ αὐτὴ καὶ εἷς ἐξ ἁπάντων θεολογίας ὕμνος, ναὶ μὴν καὶ τῶν ἡγουμένων ἐντελεῖς θρῃσκεῖαι ἱερουργίαι τε τῶν ἱερωμένων καὶ θεοπρεπεῖς ἐκκλησίας θεσμοί, ὧδε μὲν ψαλμῳδίαις καὶ ταῖς λοιπαῖς τῶν θεόθεν ἡμῖν παραδοθεισῶν φωνῶν ἀκροάσεσιν, ὧδε δὲ θείαις καὶ μυστικαῖς ἐπιτελουμέναις διακονίαις, σωτηρίου τε ἦν πάθους ἀπόρρητα σύμβολα.

[15] Cf. Rom 12,5; 1 Cor 12,12.
[16] Habla en general, pero basando su descripción en el acontecimiento por él vivido, en el que tuvo lugar la pronunciación del discurso panegírico que ocupa, como veremos *infra* 4, la mayor parte de este libro.
[17] Cf. Ez 37,7-10.
[18] Cf. Act 4,32.

4 A la vez, gentes de toda edad, varones y hembras [19], con toda la fuerza de su pensamiento y con la mente y el alma gozosas, honraban a Dios, autor de todos los bienes, mediante oraciones y acción de gracias.

Y todos los dirigentes presentes pronunciaban discursos panegíricos, cada uno según sus facultades, entusiasmando a la asamblea.

## 4

### [Panegírico ante el esplendor de nuestros asuntos]

1 Y salió al medio un hombre, uno de los moderadamente dotados, que tenía compuesto un discurso [20]. En una iglesia abarrotada, y hallándose presentes numerosos pastores que escuchaban en silencio y orden, pronunció el siguiente discurso, dirigiéndose personalmente a un solo obispo [21], amigo de Dios y el mejor de todos, por cuya solicitud y celo se había erigido en Tiro el templo más notable de Fenicia y alrededores.

4 ὁμοῦ δὲ πᾶν γένος ἡλικίας ἄρρενός τε καὶ θήλεος φύσεως ὅλῃ διανοίας ἰσχύϊ δι' εὐχῶν καὶ εὐχαριστίας γεγηθότι νῷ καὶ ψυχῇ τὸν τῶν ἀγαθῶν παραίτιον θεὸν ἐγέραιρον· ἐκίνει δὲ καὶ λόγους ἅπας τῶν παρόντων ἀρχόντων πανηγυρικούς, ὡς ἑκάστῳ παρῆν δυνάμεως, θειάζων τὴν πανήγυριν,

Δ'

1 καί τις ἐν μέσῳ παρελθὼν τῶν μετρίως ἐπιεικῶν, λόγου σύνταξιν πεποιημένος, ὡς ἐν ἐκκλησίας ἀθροίσματι, πλείστων ἐπιπαρόντων ποιμένων ἐν ἡσυχίᾳ καὶ κόσμῳ τὴν ἀκρόασιν παρεχομένων, ἑνός εἰς πρόσωπον τὰ πάντα ἀρίστου καὶ θεοφιλοῦς ἐπισκόπου, οὗ διὰ σπουδῆς ὁ μάλιστα τῶν ἀμφὶ τὸ Φοινίκων ἔθνος διαπρέπων ἐν Τύρῳ νεὼς φιλοτίμως ἐπεσκεύαστο, τοιόνδε παρέσχε λόγον

[19] Cf. Sal 148,12.

[20] Todos los comentaristas están de acuerdo en afirmar que se trata de Eusebio mismo, que por estas fechas debía de ser ya obispo de Cesarea, pues es casi evidente que el orador es un obispo. Lo difícil es determinar la fecha. Hay, sin embargo, algunos datos que pueden servirnos. Como señala Schwartz, no pudo ser antes de 313, cuando Licinio venció definitivamente a Maximino; por otra parte, el discurso (cf. § 16 y 60) supone a Constantino y Licinio en las mejores relaciones, cosa que no ocurría de agosto a diciembre de 314, y en el entretiempo era imposible haber edificado un templo de las proporciones descritas, ni tampoco después de 319, cuando Licinio renovó la persecución. Por lo demás, inmediatamente después de la derrota de Licinio, a fines de 314, el orador no igualaría en la alabanza, por retórica que fuera, a los dos emperadores; tuvo que pasar algún tiempo. Por consiguiente, la fecha más adecuada parece ser en torno a 317-318. Si se acepta, en cambio, la cronología que, partiendo de la numismática, propone P. Bruun *(The Constantinian coinage of Arelate:* Suomen muinaismuistoyhdistyksen Aikakauskirja 52,2 [Helsinki 1953] 15ss), como la guerra entre ambos emperadores no habría estallado hasta el otoño de 316, la dedicación de Tiro podía muy bien haber tenido lugar desde comienzos de 314 a otoño de 316; cf. también, Ch. Habicht, *Zur Geschichte des Kaisers Konstantin:* Hermes 86 (1958) 360-378.

[21] Aunque no lo nombre, se trata de Paulino, cf. *supra* 1,2.

## Panegírico sobre la edificación de las iglesias, dirigido a Paulino, obispo de Tiro

2 «Amigos de Dios y sacerdotes revestidos con la santa túnica talar, con la celestial corona de la gloria, con el crisma divino y con la vestidura sacerdotal del Espíritu Santo. Y tú, joven orgullo del santo templo de Dios, que, aunque honrado por Dios con una sabiduría de anciano, has demostrado, sin embargo, obras y acciones magníficas propias de una virtud joven y en pleno vigor; tú, a quien Dios mismo, que abarca todo el mundo, ha otorgado como privilegio especial el edificar su casa sobre la tierra y restaurarla para Cristo, su Verbo unigénito y primogénito, y para su santa y divina esposa.

3 »Uno querría llamarte nuevo Beseleel, arquitecto de un tabernáculo divino [22]; o bien Salomón, rey de una Jerusalén nueva y mucho mejor [23], o bien, incluso, nuevo Zorobabel que circunda el templo de Dios con una gloria mucho mejor que la primera [24].

4 »Pero también vosotros, vástagos del sagrado rebaño de Cristo, hogar de buenas doctrinas, escuela de templanza y auditorio de piedad, venerable y amado de Dios.

5 »Antes, cuando los extraordinarios milagros y los admirables beneficios del Señor en favor de los hombres los conocíamos de oídas, escuchando las lecturas sagradas, así educados, nos era posible dirigir himnos y cánticos al Señor y decir: *¡Oh Dios, con nuestros oídos lo hemos oído! Nuestros padres nos anunciaron la obra que tú realizaste en sus días, en los días antiguos* [25].

ΠΑΝΗΓΥΡΙΚΟΣ ΕΠΙ ΤΗΙ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΟΙΚΟΔΟΜΗΙ ΠΑΥΛΙΝΩΙ ΤΥΡΙΩΝ ΕΠΙΣΚΟΠΩΙ ΠΡΟΣΠΕΦΩΝΗΜΕΝΟΣ

2 Ὦ φίλοι θεοῦ καὶ ἱερεῖς οἱ τὸν ἅγιον ποδήρη καὶ τὸν οὐράνιον τῆς δόξης στέφανον τό τε χρῖσμα τὸ ἔνθεον καὶ τὴν ἱερατικὴν τοῦ ἁγίου πνεύματος στολὴν περιβεβλημένοι, σύ τε, ὦ νέον ἁγίου νεὼ θεοῦ σεμνολόγημα, γεραιρᾷ μὲν φρονήσει παρὰ θεοῦ τετιμημένε, νέας δὲ καὶ ἀκμαζούσης ἀρετῆς ἔργα πολυτελῆ καὶ πράξεις ἐπιδεδειγμένε, ᾧ τὸν ἐπὶ γῆς οἶκον αὐτὸς ὁ τὸν σύμπαντα κόσμον περιέχων θεὸς δείμασθαι καὶ ἀνανεοῦν Χριστῷ τῷ μονογενεῖ καὶ πρωτογενεῖ δὲ αὐτοῦ λόγῳ τῇ τε ἁγίᾳ τούτου καὶ θεοπρεπεῖ νύμφῃ γέρας ἐξαίρετον δεδώρηται,

3 εἴτε τις νέον σε Βεσελεηλ θείας ἀρχιτέκτονα σκηνῆς ἐθέλοι καλεῖν εἴτε Σολομῶνα καινῆς καὶ πολὺ κρείττονος Ἱερουσαλὴμ βασιλέα εἴτε καὶ νέον Ζοροβαβελ τὴν πολὺ κρείττονα δόξαν τῆς προτέρας τῷ νεῷ τοῦ θεοῦ περιτιθέντα,

4 ἀλλὰ καὶ ὑμεῖς, ὦ τῆς ἱερᾶς ἀγέλης Χριστοῦ θρέμματα, λόγων ἀγαθῶν ἑστία, σωφροσύνης παιδευτήριον καὶ θεοσεβείας σεμνὸν καὶ θεοφιλὲς ἀκροατήριον·

5 πάλαι μὲν ἡμῖν τὰς παραδόξους θεοσημίας καὶ τῶν τοῦ κυρίου θαυμάτων τὰς εἰς ἀνθρώπους εὐεργεσίας διὰ θείων ἀναγνωσμάτων ἀκοῇ παραδεχομένοις ὕμνους εἰς θεὸν καὶ ᾠδὰς ἀναπέμπειν ἐξῆν λέγειν παιδευομένοις ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις·

[22] Ex 31,2; 35,30-34.
[23] Cf. 3 Re 6-8; 2 Par 3-8.
[24] Cf. Esd 3-6; Ag 2,4-10.
[25] Sal 43,2.

6 »Pero ahora que ya no conocemos de oídas ni por rumor de palabras el alto brazo [26] y la diestra celestial de nuestro Dios, todo bondad y universal, sino que, por así decirlo, en las obras y con nuestros propios ojos hemos comprobado que son fieles y verdaderas las maravillas antiguamente confiadas a la memoria, podemos entonar un segundo himno de victoria y alzar claramente nuestras voces diciendo: *Como lo habíamos oído, así lo hemos visto en la ciudad del Señor de los ejércitos, en la ciudad de nuestro Dios* [27].

7 »Pero ¿en qué ciudad sino en ésta, recién fundada y edificada por Dios? Esta, *que es Iglesia del Dios vivo, pilar y sólido cimiento de la verdad* [28], acerca de la cual otro oráculo divino anunciaba ya esta buena nueva: *Gloriosas cosas se han dicho de ti, ciudad de Dios* [29]. Puesto que es en ella donde Dios santísimo nos ha congregado por la gracia de su Unigénito, cada uno de los invitados entone himnos, y aun a gritos diga: *Me alegré cuando se me dijo: iremos a la casa del Señor* [30]. Y también: *Señor, yo amé el noble aspecto de tu casa y el lugar en que acampa tu gloria* [31].

8 »Y no solamente uno por uno, sino incluso todos a la vez: con un solo espíritu y una sola alma, honrémosle bendiciéndole así, *¡Grande es el Señor y dignísimo de alabanza en la ciudad de nuestro Dios, en su monte santo!* [32] Porque, efectivamente, grande es, a decir verdad, *grande su casa, alta y espaciosa* [33], y *lozana y hermosa más que los hijos de los hombres* [34]. Grande es el Señor, *el único que hace maravillas* [35]; grande *el que hace obras grandes e insondables,*

6 ἀλλὰ νῦν γε οὐκέτ' ἀκοαῖς οὐδὲ λόγων φήμαις τὸν βραχίονα τὸν ὑψηλὸν τήν τε οὐράνιον δεξιὰν τοῦ παναγάθου καὶ παμβασιλέως ἡμῶν θεοῦ παραλαμβάνουσιν, ἔργοις δ' ὡς ἔπος εἰπεῖν καὶ αὐτοῖς ὀφθαλμοῖς τὰ πάλαι μνήμῃ παραδεδομένα πιστὰ καὶ ἀληθῆ καθορωμένοις, δεύτερον ὕμνον ἐπινίκιον πάρεστιν ἀναμέλπειν ἐναργῶς τε ἀναφωνεῖν καὶ λέγειν καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν.

7 ποίᾳ δὲ πόλει ἢ τῇδε τῇ νεοπαγεῖ καὶ θεοτεύκτῳ; ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, περὶ ἧς καὶ ἄλλο τι θεῖον λόγιον ὧδέ πως εὐαγγελίζεται δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ· ἐφ' ἣν τοῦ παναγάθου συγκροτήσαντος ἡμᾶς θεοῦ διὰ τῆς τοῦ μονογενοῦς αὐτοῦ χάριτος, τῶν ἀνακεκλημένων ἕκαστος ὑμνείτω μόνον οὐχὶ βοῶν καὶ λέγων εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσιν μοι «εἰς οἶκον κυρίου πορευσόμεθα» καὶ κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου,

8 καὶ μὴ μόνον γε ὁ καθεῖς, ἀλλὰ καὶ οἱ πάντες ἀθρόως ἑνὶ πνεύματι καὶ μιᾷ ψυχῇ γεραίροντες ἀνευφημῶμεν, μέγας κύριος ἐπιλέγοντες καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. καὶ γὰρ οὖν μέγας ὡς ἀληθῶς, καὶ μέγας ὁ οἶκος αὐτοῦ, ὑψηλὸς καὶ ἐπιμήκης καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· μέγας κύριος ὁ ποιῶν θαυμάσια μόνος· μέγας ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός· μέγας ὁ ἀλλοιῶν καιροὺς

[26] Cf. Sal 135,12.
[27] Sal 47,9.
[28] 1 Tim 3,15.
[29] Sal 86,3.
[30] Sal 121,1.
[31] Sal 25,8.
[32] Sal 47,2.
[33] Bar 3,24-25.
[34] Sal 44,3.
[35] Sal 71,18.

*gloriosas, descomunales, innumerables*[36]; grande *el que cambia las ocasiones y los tiempos, el que depone a los reyes y los establece*[37]. El *que levanta de la tierra al pobre y alza del estiércol al indigente*[38]; *derribó a poderosos de sus tronos y alzó de la tierra a los humildes; llenó de bienes a los hambrientos*[39], *y quebró los brazos de los soberbios*[40],

9 »confirmado así, como digno de fe, el recuerdo de los antiguos relatos, y no sólo para los fieles, sino también para los infieles, ¡él, el taumaturgo, ejecutor de grandes obras, dueño del universo, hacedor de todo el mundo, todopoderoso, bondad suprema, único y solo Dios! Cantémosle el cántico nuevo[41], respondiendo interiormente *al que es único en hacer portentos, porque su misericordia es eterna; al que hirió a grandes reyes y mató a reyes poderosos, porque su misericordia es eterna, porque en nuestra humillación se acordó de nosotros y nos rescató de nuestros enemigos*[42].

10 »¡Ojalá nunca cesáramos de aclamar en estos términos al Padre del universo! Y en cuanto al que es causa segunda de nuestros bienes, el introductor del conocimiento de Dios, el maestro de la verdadera piedad, el destructor de los impíos y restaurador de la vida, Jesús, salvador de los que estábamos desesperados, ¡tomemos su nombre en nuestras bocas y honrémosle!

11 »Porque sólo El, como Hijo que es absolutamente único y santísimo de un Padre santísimo, por voluntad del amor paterno a los hombres, revistió gustosísimamente nuestra naturaleza de hombres, que yacíamos en profunda corrupción, y cual médico excelentísimo, por causa de la salvación de los enfermos, «ve cosas terribles

καὶ χρόνους, μεθιστῶν βασιλεῖς καὶ καθιστῶν, ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνιστῶν πένητα. καθεῖλεν δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσεν ταπεινοὺς ἀπὸ γῆς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ βραχίονας ὑπερηφάνων συνέτριψεν,

9 οὐ πιστοῖς μόνον, ἀλλὰ καὶ ἀπίστοις τῶν παλαιῶν διηγημάτων τὴν μνήμην πιστωσάμενος, ὁ θαυματουργός, ὁ μεγαλουργός, ὁ τῶν ὅλων δεσπότης, ὁ τοῦ σύμπαντος κόσμου δημιουργός, ὁ παντοκράτωρ, ὁ πανάγαθος, ὁ εἷς καὶ μόνος θεός, ᾧ τὸ καινὸν ᾆσμα μέλπωμεν προσυπακούοντες τῷ ποιοῦντι θαυμάσια μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· τῷ πατάξαντι βασιλεῖς μεγάλους καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.

10 καὶ τὸν μὲν τῶν ὅλων ἀγαθῶν τούτοις ἀνευφημοῦντες μή ποτε διαλείποιμεν· τὸν δὲ τῶν ἀγαθῶν ἡμῖν δεύτερον αἴτιον, τὸν τῆς θεογνωσίας εἰσηγητήν, τὸν τῆς ἀληθοῦς εὐσεβείας διδάσκαλον, τὸν τῶν ἀσεβῶν ὀλετῆρα, τὸν τυραννοκτόνον, τὸν τοῦ βίου διορθωτήν, τὸν ἡμῶν τῶν ἀπεγνωσμένων σωτῆρα Ἰησοῦν ἀνὰ στόμα φέροντες γεραίρωμεν,

11 ὅτι δὴ μόνος, οἷα παναγάθου πατρὸς μονώτατος ὑπάρχων πανάγαθος παῖς, γνώμῃ τῆς πατρικῆς φιλανθρωπίας τῶν ἐν φθορᾷ κάτω που κειμένων ἡμῶν εὖ μάλα προθύμως ὑποδὺς τὴν φύσιν, οἷά τις ἰατρῶν ἄριστος τῆς τῶν καμνόντων

36 Job 9,10.
37 Dan 2,21.
38 Sal 112,7.
39 Lc 1,52-53.
40 Job 38,15.
41 Sal 97,1.
42 Sal 135,4.17-18.23-24.

y toca llagas repugnantes, y en calamidades ajenas cosecha sufrimientos propios»[43], pues no sólo nos salvó estando enfermos o agobiados con terribles llagas y heridas ya putrefactas, sino que incluso a los que yacíamos entre los muertos El mismo nos arrancó para sí de los mismos abismos de la muerte, porque ningún otro de los que están en el cielo posee tanta fuerza como para ponerse al servicio de la salvación de tantos sin menoscabo propio.

12 »Así, pues, sólo El tocó nuestra propia y gravísima corrupción, sólo El soportó nuestros trabajos, sólo El cargó sobre sí las penas de nuestras iniquidades[44]. Y no nos levantó cuando estábamos medio muertos, sino ya completamente corrompidos y hediondos en tumbas y sepulcros. Lo mismo antes que ahora, con su amorosa solicitud por los hombres, contra la esperanza de todo el mundo y, por lo tanto, de la nuestra, nos sigue salvando y haciendo partícipes de la abundancia de bienes del Padre, El, el vivificador, el que trajo la luz, nuestro gran médico, rey y Señor, el Cristo de Dios.

13 »Sin embargo, entonces, viendo a todo el género humano hundido en noche oscura y en profunda tiniebla, por extraviarlo los funestos demonios y por la acción de los espíritus aborrecedores de Dios, apareció una vez por todas y desató las múltiples y firmes ligaduras de nuestras iniquidades como se derrite la cera con los rayos de su luz[45].

14 »Pero ahora, ante tamaña gracia y beneficio tan grande, estalló, por así decirlo, la envidia del demonio, odiador del bien y amigo del mal, que movilizó contra nosotros todas sus huestes

ἕνεκεν σωτηρίας «ὁρῆ μὲν δεινά, θιγγάνει δ' ἀηδέων ἐπ' ἀλλοτρίῃσί τε ξυμφορῇσιν ἰδίας καρποῦται λύπας», οὐ νοσοῦντας αὐτὸ μόνον οὐδ' ἕλκεσι δεινοῖς καὶ σεσηπόσιν ἤδη τραύμασιν πιεζομένους, ἀλλὰ καὶ ἐν νεκροῖς κειμένους ἡμᾶς ἐξ αὐτῶν μυχῶν τοῦ θανάτου αὐτὸς ἑαυτῷ διεσώσατο, ὅτι μηδ' ἄλλῳ τῷ τῶν κατ' οὐρανὸν τοσοῦτον παρῆν ἰσχύος, ὡς τῇ τῶν τοσούτων ἀβλαβῶς διακονήσασθαι σωτηρίᾳ.

**12** μόνος δ' οὖν καὶ τῆς ἡμῶν αὐτῶν βαρυπαθοῦς φθορᾶς ἐφαψάμενος, μόνος τοὺς ἡμετέρους ἀνατλὰς πόνους, μόνος τὰ πρόστιμα τῶν ἡμετέρων ἀσεβημάτων περιθέμενος, οὐχ ἡμιθνῆτας, ἀλλὰ καὶ πάμπαν ἐν μνήμασι καὶ τάφοις μυσαροὺς ἤδη καὶ ὀδωδότας ἀναλαβὼν πάλαι τε καὶ νῦν σπουδῇ τῇ φιλανθρώπῳ παρὰ πᾶσαν τὴν οὗτινος οὖν ἡμῶν τε αὐτῶν ἐλπίδα σῴζει τε καὶ τῶν τοῦ πατρὸς ἀγαθῶν ἀφθονίαν μεταδίδωσιν, ὁ ζωοποιός, ὁ φωταγωγός, ὁ μέγας ἡμῶν ἰατρὸς καὶ βασιλεὺς καὶ κύριος, ὁ Χριστὸς τοῦ θεοῦ.

**13** ἀλλὰ τότε μὲν ἅπαξ ἐν νυκτὶ ζοφερᾷ καὶ σκότῳ βαθεῖ δαιμόνων ἀλιτηρίων πλάνῃ καὶ θεομισῶν πνευμάτων ἐνεργείαις πᾶν τὸ τῶν ἀνθρώπων γένος κατορωρυγμένον αὐτὸ μόνον ἐπιφανείς, ὡς ἂν κηροῦ διατακέντος ταῖς αὐτοῦ βολαῖς τοῦ φωτός, τὰς πολυδέτους τῶν ἀσεβημάτων ἡμῶν σειρὰς διελύσατο·

**14** νῦν δ' ἐπὶ τῇ τοσαύτῃ χάριτι καὶ εὐεργεσίᾳ τοῦ μισοκάλου φθόνου καὶ φιλοπονήρου δαίμονος μόνον οὐχὶ διαρρηγνυμένου καὶ πάσας αὐτοῦ τὰς θανατοποιοὺς

[43] Cf. Hipócrates, *De flatibus*, 1; Orígenes, *C. Celsum* 4,15; *In Ier.* hom.14,1.
[44] Is 53,4-5.
[45] Cf. Sal 57,9.

mortíferas. Primero, cual perro rabioso que rompe sus dientes contra las piedras que se le arrojan y descarga su furia, dirigida a los que le rechazan, contra unos proyectiles sin alma, enfiló su locura salvaje contra las piedras de los oratorios y contra los materiales inanimados de las casas, para hacer de las iglesias—así al menos lo creía para sí—un desierto; luego, dejó escapar sus terribles silbidos y gritos de serpiente, ya con amenazas de impíos tiranos, ya con edictos blasfemos de inicuos gobernantes, y, finalmente, vomitó la muerte, que es suya, y envenenó con deletéreas y mortales ponzoñas a las almas por él atrapadas, y estuvo a punto de hacerlas morir con sacrificios mortíferos a ídolos muertos y azuzó contra nosotros a toda fiera de forma humana y a bestias salvajes de toda especie.

15 »Pero otra vez el ángel del gran consejo[46], el gran generalísimo del ejército de Dios[47], después del suficiente entrenamiento que habían demostrado los más grandes soldados de su reino con su paciencia y su constancia en todos los tormentos, de nuevo apareció así, de repente, y a adversarios y enemigos los barrió y redujo a nada, hasta el punto de parecer que jamás tuvieron nombre, y, en cambio, a sus amigos y familiares los hizo avanzar más allá de la gloria delante de todo, no sólo de los hombres, sino incluso de los ejércitos celestes, del sol, de la luna y de las estrellas, del cielo entero y del mundo.

16 »De tal manera que ya—cosa que nunca había acontecido—los más altos emperadores[48], conscientes del honor que de El

καθ' ἡμῶν ἐπιστρατεύοντος δυνάμεις καὶ τὰ μὲν πρῶτα κυνὸς δίκην λυττῶντος, τοὺς ὀδόντας ἐπὶ τοὺς ἀφιεμένους κατ' αὐτοῦ λίθους προσαράττοντος καὶ τὸν κατὰ τῶν ἀμυνομένων θυμὸν ἐπὶ τὰ ἄψυχα βλήματα καθιέντος, τοῖς τῶν προσευκτηρίων λίθοις καὶ ταῖς τῶν οἴκων ἀψύχοις ὕλαις τὴν θηριώδη μανίαν ἐπερείσαντος ἐρημίαν τε, ὥς γε δὴ αὐτὸς ἑαυτῷ ᾤετο, τῶν ἐκκλησιῶν ἀπεργασαμένου, εἶτα δὲ δεινὰ συρίγματα καὶ τὰς ὀφιώδεις αὐτοῦ φωνὰς τοτὲ μὲν ἀσεβῶν τυράννων ἀπειλαῖς, τοτὲ δὲ βλασφήμοις δυσσεβῶν ἀρχόντων διατάξεσιν ἀφιέντος καὶ προσέτι τὸν αὐτοῦ θάνατον ἐξερευγομένου καὶ τοῖς ἰώδεσι καὶ ψυχοφθόροις δηλητηρίοις τὰς ἁλισκομένας πρὸς αὐτοῦ ψυχὰς φαρμάττοντος καὶ μόνον οὐχὶ νεκροῦντος ταῖς τῶν νεκρῶν εἰδώλων νεκροποιοῖς θυσίαις πάντα τε ἀνθρωπόμορφον θῆρα καὶ πάντα τρόπον ἄγριον καθ' ἡμῶν ὑποσαλεύοντος,

**15** αὖθις ἐξ ὑπαρχῆς ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, ὁ μέγας ἀρχιστράτηγος τοῦ θεοῦ, μετὰ τὴν αὐτάρκη διαγυμνασίαν ἣν οἱ μέγιστοι τῆς αὐτοῦ βασιλείας στρατιῶται διὰ τῆς πρὸς ἅπαντα ὑπομονῆς καὶ καρτερίας ἐνεδείξαντο, ἀθρόως οὕτως φανείς, τὰ μὲν ἐχθρὰ καὶ πολέμια εἰς ἀφανὲς καὶ τὸ μηθὲν κατεστήσατο, ὡς μηδὲ πώποτε ὠνομάσθαι δοκεῖν, τὰ δ' αὐτῷ φίλα καὶ οἰκεῖα δόξης ἐπέκεινα παρὰ πᾶσιν, οὐκ ἀνθρώποις μόνον, ἀλλ' ἤδη καὶ δυνάμεσιν οὐρανίοις ἡλίῳ τε καὶ σελήνῃ καὶ ἄστροις καὶ τῷ σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ προήγαγεν,

**16** ὥστε ἤδη, ὃ μηδὲ ἄλλοτέ πω, τοὺς πάντων ἀνωτάτω βασιλέας ἧς λελόγχασι παρ' αὐτοῦ τιμῆς συνῃσθημένως νεκρῶν

[46] Cf. Is 9,6.
[47] Cf. Jos 5,14.
[48] Los augustos Constantino y Licinio; cf. *supra* § 1.

habían obtenido, escupían al rostro de los ídolos muertos, pisoteaban las criminales ceremonias de los demonios y se burlaban del antiguo engaño transmitido por sus mayores [49]; y, en cambio, reconocían que hay un solo Dios, único y el mismo, bienhechor común de todos y de ellos mismos, y confesaban a Cristo como Hijo de Dios, rey supremo de todo; en estelas le proclamaban salvador y, para recuerdo imborrable, hicieron además grabar con caracteres imperiales en medio de la ciudad que impera sobre las otras [50] en la tierra sus felices empresas y sus victorias contra los impíos, de manera que Jesucristo, nuestro salvador, es el único de los que existieron desde los siglos al que los mismos supremos jerarcas de la tierra reconocieron, no ya como un rey corriente salido de entre los hombres, sino como verdadero Hijo del Dios del universo, como a Dios lo adoran [51].

17 »¡Y con razón! Porque ¿qué rey alcanzó alguna vez tal grado de virtud que con su nombre llenase el oído y la lengua de todos los hombres sobre la tierra? ¿Qué rey estableció leyes tan piadosas y tan prudentes y tuvo luego fuerza bastante para hacerlas llegar a oídos de todos los hombres, desde el confín del mundo hasta el límite de la tierra habitada?

18 »¿Quién abrogó las bárbaras y salvajes costumbres de gentes salvajes con sus leyes suaves y de amorosa humanidad? ¿Y quién, habiendo sido combatido por todos durante siglos enteros, demos-

μὲν εἰδώλων καταπτύειν προσώποις, πατεῖν δ' ἄθεσμα δαιμόνων θέσμια καὶ παλαιᾶς ἀπάτης πατροπαραδότου καταγελᾶν, ἕνα δὲ αὐτὸν μόνον θεὸν τὸν κοινὸν ἁπάντων καὶ ἑαυτῶν εὐεργέτην γνωρίζειν Χριστόν τε τοῦ θεοῦ παῖδα παμβασιλέα τῶν ὅλων ὁμολογεῖν σωτῆρά τε αὐτὸν ἐν στήλαις ἀναγορεύειν, ἀνεξαλείπτῳ μνήμῃ τὰ κατορθώματα καὶ τὰς κατὰ τῶν ἀσεβῶν αὐτοῦ νίκας μέσῃ τῇ βασιλευούσῃ τῶν ἐπὶ γῆς πόλει βασιλικοῖς χαρακτῆρσι προσεγγράφοντας, ὥστε μόνον τῶν ἐξ αἰῶνος Ἰησοῦν Χριστὸν τὸν ἡμῶν σωτῆρα καὶ πρὸς αὐτῶν τῶν ἐπὶ γῆς ἀνωτάτω οὐχ οἷα κοινὸν ἐξ ἀνθρώπων βασιλέα γενόμενον ὁμολογεῖσθαι, ἀλλ' οἷα τοῦ καθ' ὅλων θεοῦ παῖδα γνήσιον καὶ αὐτὸν θεὸν προσκυνεῖσθαι.

17 καὶ εἰκότως· τίς γὰρ τῶν πώποτε βασιλέων τοσοῦτον ἀρετῆς ἠνέγκατο, ὡς πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων ἀκοὴν καὶ γλῶτταν ἐμπλῆσαι τῆς αὐτοῦ προσηγορίας; τίς βασιλεὺς νόμους εὐσεβεῖς οὕτω καὶ σώφρονας διαταξάμενος ἀπὸ περάτων γῆς καὶ εἰς ἄκρα τῆς ὅλης οἰκουμένης εἰς ἐπήκοον ἅπασιν ἀνθρώποις ἀναγινώσκεσθαι διαρκῶς ἐκράτυνεν;

18 τίς ἀνημέρων ἐθνῶν ἔθη βάρβαρα καὶ ἀνήμερα τοῖς ἡμέροις αὐτοῦ καὶ φιλανθρωποτάτοις παρέλυσε νόμοις; τίς αἰῶσιν ὅλοις ὑπὸ πάντων πολεμούμενος τὴν ὑπὲρ ἄνθρωπον ἀρετὴν ἐπεδείξατο, ὡς ἀνθεῖν ὁσημέραι καὶ νεάζειν διὰ παντὸς τοῦ βίου;

[49] Lo mismo dice en *De laud. Constant.* 10, pero no aplicado a los emperadores, sino a «todo el mundo»: πᾶς.

[50] No puede ser más que Roma, y probablemente se aluda al arco de Constantino. De todos modos, lo que aquí se dice sólo podría aplicarse a Constantino y sus dominios, aunque Eusebio lo extienda también a Licinio.

[51] Es evidente la exageración retórica y la consiguiente inexactitud de este párrafo, en el que viene a proclamar cristianos convencidos a Constantino y a Licinio.

tró un vigor sobrehumano, tanto que cada día florecía y rejuvenecía a través de toda su vida? [52]

19 »¿Y quién fundó un pueblo [53] del que nunca en los siglos se oyó hablar, y no lo ocultó en cualquier rincón de la tierra, sino que lo estableció por todo lugar bajo el sol? ¿Quién protegió a sus soldados con armas de piedad, de tal manera que sus almas en los combates contra los adversarios aparecían más fuertes que el diamante? [54]

20 »¿Y qué rey es tan poderoso y dirige una campaña después de muerto, levanta trofeos victoriosos contra los enemigos, y llena todo lugar, región y ciudad, griega o bárbara, con dedicaciones de sus regias moradas y de templos divinos, como esos bellísimos ornamentos y ofrendas que vemos en este templo? Porque también estos mismos objetos son realmente venerables y grandes, dignos de admiración y estupor, como pruebas claras que son de la realeza de nuestro Salvador. Porque también ahora *habló El, y las cosas se hicieron; lo mandó El, y fueron creadas* [55] (y es que ¿quién iba a resistir a la autoridad del rey y jefe universal, del Verbo mismo de Dios?). Esto, para una consideración y una interpretación exactas, necesitaría espacio y discursos propios.

21 »En realidad, la cantidad y la calidad del celo de los que han trabajado no las juzga tan importantes aquel que llamamos Dios y que está contemplando el templo vivo que sois vosotros y vela por la casa de piedras vivas [56] y bien montadas, y asentada con toda seguridad *sobre el cimiento de los apóstoles y profetas, cuya piedra angular es Jesucristo* [57], a quien rechazaron, no solamente los cons-

**19** τίς ἔθνος τὸ μηδὲ ἀκουσθὲν ἐξ αἰῶνος οὐκ ἐν γωνίᾳ ποι γῆς λεληθός, ἀλλὰ καθ' ὅλης τῆς ὑφ' ἥλιον ἱδρύσατο; τίς εὐσεβείας ὅπλοις οὕτως ἐφράξατο τοὺς στρατιώτας, ὡς ἀδάμαντος τὰς ψυχὰς κραταιοτέρους ἐν τοῖς πρὸς τοὺς ἀντιπάλους ἀγῶσιν διαφαίνεσθαι;

**20** τίς βασιλέων ἐς τοσοῦτον κρατεῖ καὶ στρατηγεῖ μετὰ θάνατον καὶ τρόπαια κατ' ἐχθρῶν ἵστησιν καὶ πάντα τόπον καὶ χώραν καὶ πόλιν, Ἑλλάδα τε καὶ βάρβαρον, βασιλικῶν οἴκων αὐτοῦ πληροῖ καὶ θείων ναῶν ἀφιερώμασιν, οἷα τάδε τὰ τοῦδε τοῦ νεὼ περικαλλῆ κοσμήματά τε καὶ ἀναθήματα; ἃ καὶ αὐτὰ σεμνὰ μὲν ὡς ἀληθῶς καὶ μεγάλα ἐκπλήξεώς τε καὶ θαύματος ἄξια καὶ οἷα τῆς τοῦ σωτῆρος ἡμῶν βασιλείας ἐναργῆ δείγματα, ὅτι καὶ νῦν αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν (τί γὰρ καὶ ἔμελλεν τοῦ παμβασιλέως καὶ πανηγεμόνος καὶ αὐτοῦ θεοῦ λόγου ἐνστήσεσθαι τῷ νεύματι;), σχολῆς τε λόγων οἰκείας εἰς ἀκριβῆ θεωρίαν τε καὶ ἑρμηνείαν τυγχάνει δεόμενα·

**21** οὐ μὴν ὅσα καὶ οἷα τὰ τῆς τῶν πεπονηκότων προθυμίας κέκριται παρ' αὐτῷ τῷ θεολογουμένῳ τὸν ἔμψυχον πάντων ὑμῶν καθορῶντι ναὸν καὶ τὸν ἐκ ζώντων λίθων καὶ βεβηκότων οἶκον ἐποπτεύοντι εὖ καὶ ἀσφαλῶς ἱδρυμένον ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ

[52] Gran parte del contenido de los párrafos 17 y 18 se halla también en el *De laud. Const.* 16.
[53] Cf. *supra* I 4,2.
[54] Cf. *De laud. Const.* 17.
[55] Sal 32,9; 148,5.
[56] Cf. 1 Pe 2,5.
[57] Ef 2,20-21.

tructores[58] de aquella antigua edificación que ya no existe, sino también los de la edificación de muchos hombres subsistente hasta hoy, por ser malos arquitectos de malas obras. Pero el Padre la probó, y lo mismo entonces que ahora la ha establecido *como cabeza de ángulo* de esta nuestra común Iglesia.

22 »En consecuencia, si uno lo considera, ¿quién podría atreverse a describir este templo vivo del Dios vivo[59], cuyo material de construcción sois* vosotros mismos? Me refiero al santuario más grande y digno de Dios en toda la verdad de la palabra, cuyo interior más profundo es inaccesible e invisible para el vulgo, porque realmente es santo, y santo de los santos. ¿Y quién será capaz incluso de abajarse para mirar dentro del recinto sagrado, si no es únicamente el gran pontífice de todos[60], el único a quien está permitido escudriñar los misterios de toda alma racional?

23 »Pero quizás también le sea posible a otro ser el segundo, después de El, a uno solo, único entre los iguales: el que ha sido establecido jefe del ejército aquí presente, a quien el primero y gran pontífice en persona, después de honrarle con el segundo lugar de los ministerios sagrados de aquí, lo ha instituido pastor de vuestro divino rebaño, y a quien ha tocado en suerte vuestro pueblo por elección y por juicio del Padre, que así le constituía servidor e intérprete suyo, nuevo Aarón o nuevo Melquisedec hecho semejante al Hijo de Dios, que permanece y que Dios conserva continuamente por las comunes oraciones de todos nosotros[61].

προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ὃν ἀπεδοκίμασαν μὲν οὐχ οἱ τῆς παλαιᾶς καὶ μηκέτ' οὔσης ἐκείνης μόνον, ἀλλὰ καὶ τῆς εἰς ἔτι νῦν τῶν πολλῶν ἀνθρώπων οἰκοδομῆς κακοὶ κακῶν ὄντες ἀρχιτέκτονες, δοκιμάσας δ' ὁ πατὴρ καὶ τότε καὶ νῦν εἰς κεφαλὴν γωνίας τῆσδε τῆς κοινῆς ἡμῶν ἐκκλησίας ἱδρύσατο.

22 τοῦτον δὴ οὖν τὸν ἐξ ὑμῶν αὐτῶν ἐπεσκευασμένον ζῶντος θεοῦ ζῶντα ναόν, τὸ μέγιστον καὶ ἀληθεῖ λόγῳ θεοπρεπὲς ἱερεῖόν φημι, οὗ τὰ ἐνδοτάτω ἄδυτα τοῖς πολλοῖς ἀθεώρητα καὶ ὄντως ἅγια καὶ τῶν ἁγίων ἅγια, τίς ἂν ἐποπτεύσας ἐξειπεῖν τολμήσειεν; τίς δὲ κἂν εἰσκύψαι περιβόλων ἱερῶν εἴσω δυνατός, ὅτι μὴ μόνος ὁ μέγας τῶν ὅλων ἀρχιερεύς, ᾧ μόνῳ θέμις πάσης λογικῆς ψυχῆς τὰ ἀπόρρητα διερευνᾶσθαι;

23 τάχα δὲ καὶ ἄλλῳ δευτερεύειν μετὰ τοῦτον ἑνὶ μόνῳ τῶν ἴσων ἐφικτόν, τῷδε τῷ προκαθημένῳ τῆσδε τῆς στρατιᾶς ἡγεμόνι, ὃν αὐτὸς ὁ πρῶτος καὶ μέγας ἀρχιερεὺς δευτερείοις τῶν τῇδε ἱερείων τιμήσας, ποιμένα τῆς ὑμετέρας ἐνθέου ποίμνης κλήρῳ καὶ κρίσει τοῦ πατρὸς τὸν ὑμέτερον λαχόντα λαόν, ὡς ἂν θεραπευτὴν καὶ ὑποφήτην αὐτὸς ἑαυτοῦ κατετάξατο, τὸν νέον Ἀαρὼν ἢ Μελχισεδεκ ἀφωμοιωμένον τῷ υἱῷ τοῦ θεοῦ μένοντά τε καὶ πρὸς αὐτοῦ τηρούμενον εἰς τὸ διηνεκὲς ταῖς κοιναῖς ἁπάντων ἡμῶν εὐχαῖς.

[58] Cf. Sal 117,22; Mt 21,42; Mc 12,10; Lc 20,17; 1 Pe 2,7.
[59] Cf. 1 Cor 3,16-17.
[60] Cf. Heb 4,14.
[61] Cf. Heb 7,2-3. Está hablando del obispo de Tiro, Paulino. Sobre el trasfondo de su comparación con Aarón y Melquisedec, cf. J. Sirinelli, *Quelques allusions à Melchisédéc dans l'oeuvre d'Eusèbe de Césarée:* Studia Patristica 6: TU 81 (Berlín 1962), especialmente p.243-246.

24 »A éste, pues, y a él sólo después del primero y sumo pontífice, le está permitido, si no en el primer puesto, sí al menos en el segundo, mirar e inspeccionar los más recónditos aspectos de vuestras almas [62]. Por su experiencia de largos años, os tiene a cada uno conocidos con exactitud; y por su diligencia y cuidado os tiene a todos bien dispuestos en el orden y en la doctrina de la piedad, y más que todos los demás es capaz de explicar con razones que rivalizan con las obras todo lo que él mismo ha llevado a cabo con ayuda del poder divino.

25 »Pues bien, nuestro primero y sumo pontífice dice: *todo lo que ve al Padre hacer, el Hijo lo hace también* [63]. Y lo mismo éste [64], como si con los puros ojos de su mente contemplara al primer maestro, cuantas cosas le ve hacer las realiza, y valiéndose de ellas como ejemplos y arquetipos [65], intenta modelar sus imágenes con el mayor parecido que le es posible, no cediendo en nada a aquel Beseleel a quien Dios mismo había llenado con el espíritu de sabiduría, de inteligencia y de otros conocimientos técnicos y científicos, llamándole para ser artífice de la construcción del templo de los tipos celestiales a base de símbolos [66].

26 »De igual manera, pues, este hombre, llevando impreso en su propia alma a Cristo entero, el Verbo, la Sabiduría y la Luz, no es posible decir con qué grandeza de sentimientos, con qué mano liberal e insaciable de previsión y con qué emulación de todos vosotros—que os enorgullecíais a porfía con la magnanimidad de

**24** τούτῳ δὴ οὖν ἐξέστω μόνῳ μετὰ τὸν πρῶτον καὶ μέγιστον ἀρχιερέα, εἰ μὴ τὰ πρῶτα, τὰ δεύτερα γοῦν ὅμως ὁρᾶν τε καὶ ἐπισκοπεῖν τῆς ἐνδοτάτω τῶν ὑμετέρων ψυχῶν θεωρίας, πείρᾳ μὲν καὶ χρόνου μήκει ἕκαστον ἀκριβῶς ἐξητακότι σπουδῇ τε τῇ αὐτοῦ καὶ ἐπιμελείᾳ τοὺς πάντας ὑμᾶς ἐν κόσμῳ καὶ λόγῳ τῷ κατ' εὐσέβειαν διατεθειμένῳ δυνατῷ τε ὄντι μᾶλλον ἁπάντων, ὧν αὐτὸς σὺν θείᾳ δυνάμει κατηρτίσατο, τούτων τοῖς ἔργοις ἐφαμίλλως ἀποδοῦναι τοὺς λόγους.

**25** ὁ μὲν οὖν πρῶτος καὶ μέγας ἡμῶν ἀρχιερεὺς ὅσα βλέπει τὸν πατέρα ποιοῦντα, ταῦτα, φησίν, ὁμοίως καὶ ὁ υἱὸς ποιεῖ· ὁ δὲ καὶ αὐτὸς ὡς ἂν ἐπὶ διδάσκαλον τὸν πρῶτον καθαροῖς νοὸς ὄμμασιν ἀφορῶν, ὅσα βλέπει ποιοῦντα, ὡς ἂν ἀρχετύποις χρώμενος παραδείγμασιν, τούτων τὰς εἰκόνας, ὡς ἔνι μάλιστα δυνατόν, εἰς τὸ ὁμοιότατον δημιουργῶν ἀπειργάσατο, οὐδὲν ἐκείνῳ καταλιπὼν τῷ Βεσελεηλ, ὃν αὐτὸς ὁ θεὸς πνεύματος ἐμπλήσας σοφίας καὶ συνέσεως καὶ τῆς ἄλλης ἐντέχνου καὶ ἐπιστημονικῆς γνώσεως, τῆς τῶν οὐρανίων τύπων διὰ συμβόλων ναοῦ κατασκευῆς δημιουργὸν ἀνακέκληται.

**26** ταύτῃ δ' οὖν καὶ ὅδε Χριστὸν ὅλον, τὸν λόγον, τὴν σοφίαν, τὸ φῶς ἐν τῇ αὐτὸς αὐτοῦ ἀγαλματοφορῶν ψυχῇ, οὐδ' ἔστιν εἰπεῖν οἵᾳ σὺν μεγαλοφροσύνῃ πλουσίᾳ τε καὶ ἀπλήστῳ διανοίας χειρὶ καὶ σὺν οἵᾳ πάντων ὑμῶν φιλοτιμίᾳ, τῇ τῶν εἰσφορῶν μεγαλοψυχίᾳ τῆς αὐτῆς αὐτῷ προθέσεως κατὰ μηδένα τρόπον

[62] Alusión al «sancta sactorum» del templo judío, donde sólo el sumo pontífice podía entrar.
[63] Jn 5,19.
[64] Paulino.
[65] Cf. Heb 12,2.
[66] Cf. Ex 31,2-4; 35,30-31; Heb 8,5.

vuestras aportaciones, no quedando de ninguna manera detrás de él en su mismo propósito—construyó este magnífico templo del Altísimo, semejante por su naturaleza al modelo mejor, como puede lo visible serlo de lo invisible [67]. Y este lugar—que también merece ser mencionado el primero de todos—, aunque por mala traza de los enemigos se hallaba sepultado bajo montones de toda clase de inmundicias, él no lo desdeñó ni cedió a la malicia de los culpables, a pesar de serle posible ir a otro lugar—en la ciudad abundaban por miles—donde hallar facilidad para el trabajo y estar alejados de problemas [68].

27 »El mismo fue el primero que se animó a la tarea. Luego, infundiendo fuerza con su entusiasmo a todo el pueblo y formando con todos como una grande y única mano, libró este primer combate. El pensaba que precisamente esta iglesia que había sido destruida por los enemigos, que había penado la primera y había sufrido las mismas persecuciones que nosotros e incluso antes que nosotros, que como una madre había sido privada de sus hijos, esta iglesia sobre todo tenía que participar también en el gozo del magnífico regalo de Dios santísimo.

28 »Efectivamente, el gran pastor [69], después de espantar a las fieras, a los lobos y a toda calaña de bestias crueles y montaraces, y luego de quebrar *los dientes de los leones*, como dicen las divinas Escrituras [70], de nuevo juzgó conveniente juntar otra vez en el mismo lugar a sus hijos, y con perfectísimo derecho levantó el aprisco de su rebaño *para avergonzar al enemigo y al rebelde* [71], y para ofrecer

ἀπολειφθῆναι φιλονεικότερον μεγαλοφρονουμένων, τὸν μεγαλοπρεπῆ τόνδε θεοῦ τοῦ ὑψίστου νεὼν τῷ τοῦ κρείττονος παραδείγματι, ὡς ἂν ὁρώμενον μὴ ὁρωμένου, τὴν φύσιν ἐμφερῆ συνεστήσατο, χῶρον μὲν τόνδε, ὅ τι καὶ ἄξιον εἰπεῖν πρῶτον ἁπάντων, πάσης οὐ καθαρᾶς ὕλης ἐχθρῶν ἐπιβουλαῖς κατακεχωσμένον οὐ παριδὼν οὐδὲ τῇ τῶν αἰτίων παραχωρήσας κακίᾳ, ἐξὸν ἐφ' ἕτερον ἐλθόντα, μυρίων ἄλλων εὐπορουμένον τῇ πόλει, ῥᾳστώνην εὕρασθαι τοῦ πόνου καὶ πραγμάτων ἀπηλλάχθαι.

27 ὁ δὲ πρῶτον αὐτὸν ἐπὶ τὸ ἔργον ἐγείρας, εἶτα δὲ τὸν σύμπαντα λαὸν προθυμίᾳ ῥώσας καὶ μίαν ἐξ ἁπάντων μεγάλην χεῖρα συναγαγών, πρῶτον ἆθλον ἠγωνίζετο, αὐτὴν δὴ μάλιστα τὴν ὑπὸ τῶν ἐχθρῶν πεπολιορκημένην, αὐτὴν τὴν προπονήσασαν καὶ τοὺς αὐτοὺς ἡμῖν καὶ πρὸ ἡμῶν διωγμοὺς ὑπομείνασαν, τὴν μητρὸς δίκην τῶν τέκνων ἐρημωθεῖσαν ἐκκλησίαν συναπολαῦσαι δεῖν οἰόμενος τῆς τοῦ παναγάθου μεγαλοδωρεᾶς.

28 ἐπειδὴ γὰρ τοὺς παῖδας αὖθις ὁ μέγας ποιμήν, τοὺς θῆρας καὶ τοὺς λύκους καὶ πᾶν ἀπηνὲς καὶ ἄγριον γένος ἀποσοβήσας καὶ τὰς μύλας τῶν λεόντων, ᾗ φησιν τὰ θεῖα λόγια, συντρίψας, ἐπὶ ταὐτὸν αὖθις συνελθεῖν ἠξίωσεν, δικαιότατα καὶ τῆς ποίμνης τὴν μάνδραν ἀνίστη τοῦ καταισχῦναι ἐχθρὸν καὶ ἐκδικητὴν καὶ ὡς ἂν ἔλεγχον ταῖς θεομάχοις τῶν ἀσεβῶν προαγάγοι τόλμαις.

[67] El edificio material es imagen visible de la Iglesia.
[68] Compárese con este párrafo y el siguiente el capítulo 26 del libro III de VC.
[69] Cf. Heb 13,20.
[70] Sal 57,7.
[71] Sal 8,3.

una refutación de las audacias de los impíos en su lucha contra Dios.

29 »Y ahora, aquellos hombres odiadores de Dios ya no existen, porque tampoco existían [72]. Después de haber causado y de haber sufrido a su vez perturbaciones por breve tiempo, y luego de soportar un castigo irreprochable en justicia, ellos mismos se arruinaron por completo y arruinaron a sus amigos y a sus familias, tanto que las predicciones grabadas otro tiempo en estelas se reconocían ahora como verdaderas ante los hechos. Por medio de éstos, la palabra divina afirma como verdaderas las otras cosas, pero también lo que declara acerca de aquéllos:

30 »*Una espada desenvainaron los pecadores; tensaron su arco para abatir al pobre y al indigente, para degollar al de recto corazón. ¡Ojalá su espada penetre en sus propios corazones y sus arcos se quiebren!* [73]; y de nuevo: *Su recuerdo se perdió con el eco, y sus nombres están borrados para siempre y por los siglos de los siglos* [74], porque realmente, hallándose entre males *gritaron, pero no había quien los salvara; gritaron al Señor, y no los escuchó* [75]. Sin embargo, a ellos *les trabaron los pies y cayeron. Nosotros, en cambio, nos levantamos y nos enderezamos* [76]. Y ante los ojos de todos aparece verdadero lo que se predecía con estas palabras: *Señor, en tu ciudad reducirás a nada su imagen* [77].

31 »Ellos, que suscitaron una lucha contra Dios parecida a la de los gigantes, han logrado un final catastrófico semejante. En cambio, el final de aquélla [78], desierta y rechazada por los hombres, ha

**29** καὶ νῦν οἱ μὲν οὐκ εἰσὶν οἱ θεομισεῖς, ὅτι μηδὲ ἦσαν, ἐς βραχὺ δὲ ταράξαντες καὶ ταραχθέντες, εἶθ' ὑποσχόντες τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτοὺς καὶ φίλους καὶ οἴκους ἄρδην ἀναστάτους κατέστησαν, ὡς τὰς πάλαι στήλαις ἱεραῖς καταγραφείσας προρρήσεις ἔργοις πιστὰς ὁμολογεῖσθαι, δι' ὧν τά τε ἄλλα ὁ θεῖος ἐπαληθεύει λόγος, ἀτὰρ καὶ τάδε περὶ αὐτῶν ἀποφαινόμενος

**30** ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ· ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν καὶ τὰ τόξα αὐτῶν συντριβείη καὶ πάλιν ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου, καὶ τὸ ὄνομα αὐτῶν ἐξήλειπται εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ὅτι δὴ καὶ ἐν κακοῖς γενόμενοι ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων· πρὸς κύριον, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, ἀλλ' οἱ μὲν συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν· καὶ τὸ γ' ἐν τούτοις προαναφωνοῦν κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις ἀληθὲς ὑπ' ὀφθαλμοῖς πάντων ἀναπέφανται.

**31** ἀλλ' οἱ μὲν γιγάντων τρόπον θεομαχίαν ἐνστησάμενοι τοιαύτην εἰλήχασιν τὴν τοῦ βίου καταστροφήν· τῆς δ' ἐρήμου καὶ παρ' ἀνθρώποις ἀπεγνωσμένης τοιαῦτα οἷα τὰ δρώμενα τῆς κατὰ

[72] Cf. Ap 17,8.11.
[73] Sal 36,14-15.
[74] Sal 9,7.6.
[75] Sal 17,42.
[76] Sal 19,9.
[77] Sal 72,20.
[78] Es decir, la Iglesia.

sido tal cual se ha visto, el de la paciencia de Dios, según proclama la profecía de Isaías, que dice así:

32 »*¡Exulta, desierto sediento! ¡Que se alegre el desierto y florezca como lirio! Y la tierra árida florecerá y exultará. ¡Fortaleceos, manos lánguidas y rodillas desfallecidas! ¡Consolaos, pusilánimes de corazón, fortaleceos, no temáis! Ved que nuestro Dios responde con un juicio y juzgará. El mismo vendrá y os salvará, porque*—dice—*brotó agua en el desierto, y un torrente en tierra sedienta, y la que estaba sin agua se convertirá en laguna, y en la tierra sedienta habrá un manantial de agua*[79].

33 »Y estas cosas, predichas antiguamente de palabra, están referidas en los libros sagrados. Pero su realidad no se nos ha transmitido ya de oídas, sino con los hechos. Esta, la desierta, la sin agua, la viuda, la indefensa, aquella *cuyas puertas habían derribado a hachazos como bosque de leña, la que de consuno había destruido con hachas y almádenas* y en la que, después de haber incluso estropeado sus libros[80], *prendieron fuego al santuario de Dios, profanaron en tierra el tabernáculo de su nombre*[81]; ésta, a la que *todos vendimiaban cuando pasaban por el camino* después que derribaron su albarrada, la que *el jabalí devastara desde el bosque y destrozara la fiera solitaria*[82], ahora, por el poder milagroso de Cristo y cuando El mismo lo ha querido, ha venido a ser *como un lirio*[83], puesto que también entonces era castigada por voluntad de El, como lo hiciera un padre cuidadoso, porque *el Señor reprende a quien ama y azota al que recibe por hijo*[84].

θεὸν ὑπομονῆς τὰ τέλη, ὡς ἀναφωνεῖν αὐτῇ τὴν προφητείαν Ἡσαΐου

32 ταῦτα εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρεμος καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα. ἰσχύσατε, χεῖρες ἀνειμέναι καὶ γόνατα παραλελυμένα· παρακαλέσατε, ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· ὅτι, φησίν, ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ, καὶ ἡ ἄνυδρος ἔσται εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται.

33 καὶ τάδε μὲν λόγοις πάλαι προθεσπισθέντα βίβλοις ἱεραῖς καταβέβλητο, τά γε μὴν ἔργα οὐκέτ' ἀκοαῖς, ἀλλ' ἔργοις ἡμῖν παραδέδοται. ἡ ἔρημος ἥδε, ἡ ἄνυδρος, ἡ χήρα καὶ ἀπερίστατος, ἧς ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς πύλας, ἐπὶ τὸ αὐτὸ ἐν πέλυκι καὶ λαξευτηρίῳ συνέτριψαν αὐτήν, ἧς καὶ τὰς βίβλους διαφθείραντες ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριον τοῦ θεοῦ, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματος αὐτοῦ, ἣν ἐτρύγησαν πάντες οἱ παραπορευόμενοι τὴν ὁδὸν προκαθελόντες αὐτῆς τοὺς φραγμούς, ἣν ἐλυμήνατο ὗς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο, Χριστοῦ δυνάμει παραδόξῳ νῦν, ὅτε θέλει αὐτός, γέγονεν ὡς κρίνον· ἐπεὶ καὶ τότε αὐτοῦ νεύματι, ὡς ἂν προκηδομένου πατρός, ἐπαιδεύετο· ὃν γὰρ ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.

[79] Is 35,1-4.6-7. Para Eusebio, el desierto de Isaías es imagen de la Iglesia; cf. también SAN GREGORIO NACIANCENO, *Orat. IV contra Iul.* 1,16.
[80] Cf. *supra* VIII 2,1.
[81] Sal 73,5-7.
[82] Sal 79,13-14.
[83] Is 35,1.
[84] Prov 3,11-12; Eclo 30,1-7; Heb 12,6; Ap 3,19.

34 »Así, pues, una vez corregida en la debida medida [85], otra vez se le ordena desde arriba alegrarse, y florecerá como lirio y exhalará hacia todos los hombres el buen olor divino, porque, dice, *brotó agua en el desierto* [86], la corriente de la divina regeneración del baño salvador [87]. Y ahora, la que hace muy poco *era desierto se ha convertido en laguna, y en la tierra sedienta* borbotó *un manantial de agua* [88] viva, y *las manos, antes lánguidas*, se han fortalecido realmente. Y prueba grande y manifiesta de la fuerza de esas manos son estas obras. Pero incluso *las rodillas*, en otro tiempo estropeadas y desfallecidas, recobrando su habitual fuerza para andar, marchan bien rectas por el camino del conocimiento de Dios y apresuran su paso hacia el familiar rebaño del Pastor santísimo [89].

35 »Y aunque algunos tuvieran sus almas embotadas por las amenazas de los tiranos [90], tampoco los deja sin curación el Verbo salvador. Bien al contrario, también a éstos los cura y los exhorta al consuelo de Dios, diciendo:

36 »*¡Consolaos, pusilánimes de corazón; fortaleceos, no temáis!* [91] La palabra que predecía que habría de gozar de todos estos bienes la que se había convertido en desierto por causa de Dios, la oyó este nuestro nuevo y buen Zorobabel con el finísimo oído de su mente, después de aquella amarga cautividad y de la abominación de la desolación [92]. No desdeñó las ruinas muertas. En primerísimo lugar, con súplicas y oraciones, y con el unánime sentir de todos vosotros, aplacó al Padre, y tomando como aliado y colaborador al único que puede reanimar a los muertos [93], levantó a la caída

**34** μέτρῳ δῆτα κατὰ τὸ δέον ἐπιστραφεῖσα, αὖθις ἄνωθεν ἐξ ὑπαρχῆς ἀγαλλιᾶν προστάττεται ἐξανθεῖ τε ὡς κρίνον καὶ τῆς ἐνθέου εὐωδίας εἰς πάντας ἀποπνεῖ ἀνθρώπους, ὅτι, φησίν, ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ τὸ νᾶμα τῆς θείας τοῦ σωτηρίου λουτροῦ παλιγγενεσίας, καὶ νῦν γέγονεν ἡ πρὸ μικροῦ ἔρημος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν ἔβρυσεν πηγὴ ὕδατος ζῶντος, ἴσχυσάν τε ὡς ἀληθῶς χεῖρες αἱ τὸ πρὶν ἀνειμέναι, καὶ τῆς τῶν χειρῶν ἰσχύος ἔργα τάδε τὰ μεγάλα καὶ ἐναργῆ δείγματα· ἀλλὰ καὶ τὰ πάλαι σεσαθρωμένα καὶ παρειμένα γόνατα τὰς οἰκείας ἀπολαβόντα βάσεις, τὴν ὁδὸν τῆς θεογνωσίας εὐθυποροῦντα βαδίζει, ἐπὶ τὴν οἰκείαν ποίμνην τοῦ παναγάθου ποιμένος σπεύδοντα.

**35** εἰ δὲ καὶ ταῖς τῶν τυράννων ἀπειλαῖς τὰς ψυχάς τινες ἀπενάρκησαν, οὐδὲ τούτους ὁ σωτήριος ἀθεραπεύτους παρορᾷ λόγος, εὖ μάλα δὲ καὶ αὐτοὺς ἰώμενος ἐπὶ τὴν τοῦ θείου παράκλησιν παρορμᾷ λέγων

**36** παρακαλέσατε, οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε.

τούτων δεῖν ἀπολαῦσαι τὴν διὰ θεὸν γενομένην ἔρημον τοῦ λόγου προαγορεύοντος, ἐπακούσας ὀξείᾳ διανοίας ἀκοῇ οὗτος ὁ νέος ἡμῶν καὶ καλὸς Ζοροβαβελ μετὰ τὴν πικρὰν ἐκείνην αἰχμαλωσίαν καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως, οὐ παριδὼν τὸ πτῶμα νεκρόν, πρώτιστα πάντων παρακλήσεσιν καὶ λιταῖς ἵλεω τὸν πατέρα μετὰ τῆς κοινῆς ὑμῶν ἁπάντων ὁμοφροσύνης καταστησάμενος καὶ τὸν

85 Cf. *supra* VIII 1,7-9; IX 8,15.
86 Is 35,6; cf. *supra* § 32.
87 Cf. Tit 3,5.
88 Is 35,7.
89 Cf. Jn 10,16.
90 Cf. *supra* VIII 2,3; IX 1,9.
91 Is 35,4.
92 Cf. Dan 9,27; Mt 24,15.
93 Cf. Rom 4,17.

—después de purificarla y curarla previamente de sus males—y la envolvió con una vestidura, no con la antigua de los tiempos remotos, sino con aquella sobre la que de nuevo le instruían los divinos oráculos cuando claramente dicen: *Y la gloria postrera de esta casa estará por encima de la primera* [94].

37 »Y así, todo el terreno que marcó era mucho mayor [95]. Por fuera fortificó el recinto con un muro todo alrededor, de manera que fuese una defensa segurísima de toda la obra.

9 »Pero, además, en atención a las personas de los cristianos, hemos decidido también lo siguiente: que los lugares suyos en que tenían por costumbre anteriormente reunirse y acerca de los cuales ya en la carta anterior enviada a tu santidad había otra regla [151], delimitada para el tiempo anterior, si apareciese que alguien los tiene comprados, bien a nuestro tesoro público, bien a cualquier otro, que los restituya a los mismos cristianos, sin reclamar dinero ni compensación alguna, dejando de lado toda negligencia y todo equívoco. Y si algunos, por acaso, los recibieron como don, que esos mismos lugares sean restituidos lo más rápidamente posible a los mismos cristianos.

10 »Mas de tal manera que, tanto los que habían comprado dichos lugares como los que los recibieron de regalo, si pidieren alguna compensación de nuestra benevolencia, puedan acudir al magistrado que juzga en el lugar, para que también se provea a ello por medio de nuestra bondad.

11 »Todo lo cual deberá ser entregado a la corporación de los cristianos, por lo mismo, gracias a tu solicitud, sin la menor dilación [152].

»Y como quiera que los mismos cristianos no solamente tienen aquellos lugares en que acostumbraban a reunirse, sino que se sabe que también poseen otros lugares pertenecientes, no a cada uno de

9 »καὶ τοῦτο δὲ πρὸς τοῖς λοιποῖς εἰς τὸ πρόσωπον τῶν Χριστιανῶν δογματίζομεν, ἵνα τοὺς τόπους αὐτῶν, εἰς οὓς τὸ πρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς, περὶ ὧν καὶ τοῖς πρότερον δοθεῖσιν πρὸς τὴν σὴν καθοσίωσιν γράμμασιν τύπος ἕτερος ἦν ὡρισμένος τῷ προτέρῳ χρόνῳ, [ἵν'] εἴ τινες ἢ παρὰ τοῦ ταμείου τοῦ ἡμετέρου ἢ παρά τινος ἑτέρου φαίνοιντο ἠγορακότες, τούτους τοῖς αὐτοῖς Χριστιανοῖς ἄνευ ἀργυρίου καὶ ἄνευ τινὸς ἀπαιτήσεως τῆς τιμῆς, ὑπερτεθείσης [δίχα] πάσης ἀμελείας καὶ ἀμφιβολίας, ἀποκαταστήσωσι, καὶ εἴ τινες κατὰ δῶρον τυγχάνουσιν εἰληφότες, τοὺς αὐτοὺς τόπους ὅπως ἢ τοῖς αὐτοῖς Χριστιανοῖς τὴν ταχίστην ἀποκαταστήσωσιν

10 »οὕτως ὡς ἢ οἱ ἠγορακότες τοὺς αὐτοὺς τόπους ἢ οἱ κατὰ δωρεὰν εἰληφότες αἰτῶσί τι παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας προσέλθωσι τῷ ἐπὶ τόπων ἐπάρχῳ δικάζοντι, ὅπως καὶ αὐτῶν διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται. ἅτινα πάντα τῷ σώματι τῷ τῶν Χριστιανῶν παρ' αὐτὰ διὰ τῆς σῆς σπουδῆς ἄνευ τινὸς παρολκῆς παραδίδοσθαι δεήσει·

11 »καὶ ἐπειδὴ οἱ αὐτοὶ Χριστιανοὶ οὐ μόνον ἐκείνους εἰς οὓς συνέρχεσθαι ἔθος εἶχον, ἀλλὰ καὶ ἑτέρους τόπους ἐσχηκέναι γινώσκονται διαφέροντας οὐ πρὸς ἕκαστον αὐτῶν, ἀλλὰ πρὸς τὸ δίκαιον τοῦ αὐτῶν σώματος, τοῦτ' ἔστιν τῶν Χριστιανῶν, ταῦτα πάντα ἐπὶ τῷ

ambos coinciden en lo esencial del razonamiento, según el cual, Licinio parte de la tolerancia otorgada a los cristianos para hacerla general a todos, y no hay por qué pensar en que debiera ser al revés, como opina Schwartz.

151 Esta regla que regía para el tiempo anterior era la instrucción contenida en la carta aludida *supra* VIII 17,9, de la cual habría tomado también Maximino para su rescripto final las disposiciones redactadas en términos muy parecidos a los de aquí, cf. *supra* IX 10,11. El mismo significado de la palabra τύπος, propio del griego tardío (cf. P. Ox. VI n.893), lo hemos encontrado ya en el rescripto de Galieno, *supra* VII 13.

152 Esto puede darnos una idea aproximada del desarrollo de la propiedad eclesiástica a fines del siglo III y comienzos del IV.

ellos, sino al derecho de su corporación, esto es, de los cristianos, en virtud de la ley que anteriormente he dicho mandarás que todos esos bienes sean restituidos sin la menor protesta a los mismos cristianos, esto es, a su corporación, y a cada una de sus asambleas, guardada, evidentemente, la razón arriba expuesta: que quienes, como tenemos dicho, los restituyan sin recompensa, esperen de nuestra benevolencia su propia indemnización.

12 »En todo ello deberás ofrecer a la dicha corporación de los cristianos la más eficaz diligencia, para que nuestro mandato se cumpla lo más rápidamente posible y para que también en esto, gracias a nuestra bondad, se provea a la común y pública tranquilidad.

13 »Efectivamente, por esta razón, como también queda dicho, la divina solicitud por nosotros, que ya en muchos asuntos hemos experimentado, permanecerá asegurada por todo el tiempo.

14 »Y para que el alcance de esta nuestra legislación benevolente pueda llegar a conocimiento de todos, es preciso que todo lo que nosotros hemos escrito tenga preferencia y por orden tuya se publique [153] por todas partes y se lleve a conocimiento de todos, para que a nadie se le pueda ocultar esta legislación, fruto de nuestra benevolencia».

νόμῳ ὃν προειρήκαμεν, δίχα παντελῶς τινος ἀμφισβητήσεως τοῖς αὐτοῖς Χριστιανοῖς, τοῦτ' ἔστιν τῷ σώματι [αὐτῶν] καὶ τῇ συνόδῳ [ἑκάστῳ] αὐτῶν ἀποκατασταθῆναι κελεύσεις, τοῦ προειρημένου λογισμοῦ δηλαδὴ φυλαχθέντος, ὅπως αὐτοὶ οἵτινες τοὺς αὐτοὺς ἄνευ τιμῆς, καθὼς προειρήκαμεν, ἀποκαθιστῶσι, τὸ ἀζήμιον τὸ ἑαυτῶν παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας ἐλπίζοιεν.

12 »ἐν οἷς πᾶσιν τῷ προειρημένῳ σώματι τῶν Χριστιανῶν τὴν σπουδὴν δυνατώτατα παρασχεῖν ὀφείλεις, ὅπως τὸ ἡμέτερον κέλευσμα τὴν ταχίστην παραπληρωθῇ, ὅπως καὶ ἐν τούτῳ διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται τῆς κοινῆς καὶ δημοσίας ἡσυχίας.

13 »τούτῳ γὰρ τῷ λογισμῷ, καθὼς καὶ προείρηται, ἡ θεία σπουδὴ περὶ ἡμᾶς, ἧς ἐν πολλοῖς ἤδη πράγμασιν ἀπεπειράθημεν, διὰ παντὸς τοῦ χρόνου βεβαίως διαμεῖναι.

14 »ἵνα δὲ ταύτης τῆς ἡμετέρας νομοθεσίας καὶ τῆς καλοκἀγαθίας ὁ ὅρος πρὸς γνῶσιν πάντων ἐνεχθῆναι δυνηθῇ, προταχθέντα τοῦ σοῦ προστάγματος ταῦτα τὰ ὑφ' ἡμῶν γραφέντα πανταχοῦ προθεῖναι καὶ εἰς γνῶσιν πάντων ἀγαγεῖν ἀκόλουθόν ἐστιν, ὅπως ταύτης τῆς ἡμετέρας καλοκἀγαθίας ἡ νομοθεσία μηδένα λαθεῖν δυνηθῇ».

153 Normalmente, el gobernador comunicaba al pueblo el contenido de un rescripto imperial mediante un edicto propio.

## Copia de otra disposición imperial que también se ha tomado señalando que la donación está hecha solamente a la Iglesia católica [154]

15 «Salud, estimadísimo Anulino [155]. Es costumbre de nuestra benevolencia lo siguiente: que nosotros no solamente queremos que no se cause daño a lo que precisamente pertenece al derecho ajeno, sino que incluso se restituya, estimadísimo Anulino.

16 »De ahí que queramos que, al recibir esta carta, si, en cada ciudad o incluso en otros lugares, algunos de estos bienes pertenecían a la Iglesia católica de los cristianos y ahora los detentan o bien ciudadanos o bien otras gentes, harás que dichos bienes sean restituidos inmediatamente a las mismas iglesias, puesto que hemos decidido que precisamente aquello que las dichas iglesias poseían antes sea restituido a su derecho.

17 »Por consiguiente, ya que tu santidad está comprobando que la orden de este nuestro mandato es evidentísima, apresúrate a que todo, ya sean huertos, casas o cualquier otra cosa que pertenezca al derecho de las dichas iglesias, les sea restituido lo más rápidamente posible, de suerte que llegue a noticia nuestra que has aplicado a esta nuestra orden la más escrupulosa obediencia. Que te vaya bien, estimadísimo y muy querido Anulino».

**15** ΑΝΤΙΓΡΑΦΟΝ ΕΤΕΡΑΣ ΒΑΣΙΛΙΚΗΣ ΔΙΑΤΑΞΕΩΣ ΗΝ ΑΥΘΙΣ ΠΕΠΟΙΗΤΑΙ, ΜΟΝΗΙ ΤΗΙ ΚΑΘΟΛΙΚΗΙ ΕΚΚΛΗΣΙΑΙ ΤΗΝ ΔΩΡΕΑΝ ΔΕΔΟΣΘΑΙ ΥΠΟΣΗΜΗΝΑΜΕΝΟΣ

«Χαῖρε Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἔστιν ὁ τρόπος οὗτος τῆς φιλαγαθίας τῆς ἡμετέρας, ὥστε ἐκεῖνα ἅπερ δικαίῳ ἀλλοτρίῳ προσήκει, μὴ μόνον μὴ ἐνοχλεῖσθαι, ἀλλὰ καὶ ἀποκαθιστᾶν βούλεσθαι ἡμᾶς, Ἀνυλῖνε τιμιώτατε.

**16** »ὅθεν βουλόμεθα ἵν', ὁπόταν ταῦτα τὰ γράμματα κομίσῃ, εἴ τινα ἐκ τούτων τῶν τῇ ἐκκλησίᾳ τῇ καθολικῇ τῶν Χριστιανῶν ἐν ἑκάσταις πόλεσιν ἢ καὶ ἄλλοις τόποις διέφερον [καὶ] κατέχοιντο νῦν ἢ ὑπὸ πολιτῶν ἢ ὑπό τινων ἄλλων, ταῦτα ἀποκατασταθῆναι παραχρῆμα ταῖς αὐταῖς ἐκκλησίαις ποιήσῃς, ἐπειδήπερ προῃρήμεθα ταῦτα ἅπερ αἱ αὐταὶ ἐκκλησίαι πρότερον ἐσχήκεσαν, τῷ δικαίῳ αὐτῶν ἀποκατασταθῆναι.

**17** »ὁπότε τοίνυν συνορᾷ ἡ καθοσίωσις ἡ σὴ ταύτης ἡμῶν τῆς κελεύσεως σαφέστατον εἶναι τὸ πρόσταγμα, σπούδασον, εἴτε κῆποι εἴτε οἰκίαι εἴθ' ὁτιουνδήποτε τῷ δικαίῳ τῶν αὐτῶν ἐκκλησιῶν διέφερον, σύμπαντα αὐταῖς ἀποκατασταθῆναι ὡς τάχιστα, ὅπως τούτῳ ἡμῶν τῷ προστάγματι ἐπιμελεστάτην σε πειθάρχησιν παρεσχηκέναι καταμάθοιμεν. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν».

[154] Los documentos que siguen afectan solamente a la Iglesia de Occidente, y por eso no aparece más que el nombre de Constantino. Sobre todo son importantes para la historia del cristianismo africano y los comienzos del donatismo, aunque Eusebio no lo menciona expresamente ni aquí ni en otra parte de su HE.

[155] Este primer documento va dirigido al gobernador del Africa proconsular Anulino, urgiéndole la devolución de los bienes a la Iglesia católica.

## Copia de una carta imperial, por la cual manda que se reúna un concilio de obispos en Roma, sobre la unidad y la concordia de las iglesias[156]

18 «Constantino Augusto a Milcíades[157], obispo de los romanos, y a Marcos[158]: Muchos importantes documentos me han sido enviados de parte del ilustrísimo procónsul de Africa Anulino, en los cuales se refiere que, al obispo de la ciudad de los cartagineses Ceciliano, le acusan de muchas cosas algunos de sus colegas con sede en Africa[159], y a mí me parece sumamente grave que en estas provincias, que la divina providencia voluntariamente confió a mi solicitud y en las que es muy numerosa la población, se halle una muchedumbre persistiendo en lo peor, como si estuviera dividida, y que entre los mismos obispos existan diferencias.

19 »Por lo cual, hemos decidido que el mismo Ceciliano, con diez obispos de los que parecen acusarlo y otros diez que él mismo pueda creer necesarios para su propia causa, se embarque para Roma y allí, estando vosotros presentes —aunque también vuestros colegas Reticio, Materno y Marino[160], a los cuales mandé por esta causa apresurarse a ir a Roma—, se le podrá escuchar, lo que se ajusta, como sabes, a la ley augustísima.

20 »Sin embargo, para que podáis tener acerca de todos estos

**18 ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΣΥΝΟΔΟΝ ΕΠΙΣΚΟΠΩΝ ΕΠΙ ΡΩΜΗΣ ΚΕΛΕΥΕΙ ΓΕΝΕΣΘΑΙ ΥΗΕΡ ΤΗΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΕΝΩΣΕΩΣ ΤΕ ΚΑΙ ΟΜΟΝΟΙΑΣ**

«Κωνσταντῖνος Σεβαστὸς Μιλτιάδῃ ἐπισκόπῳ Ῥωμαίων καὶ Μάρκῳ. ἐπειδὴ τοιοῦτοι χάρται παρὰ Ἀνυλίνου τοῦ λαμπροτάτου ἀνθυπάτου τῆς Ἀφρικῆς πρός με πλείους ἀπεστάλησαν, ἐν οἷς ἐμφέρεται Καικιλιανὸν τὸν ἐπίσκοπον τῆς Χαρταγενησίων πόλεως παρά τινων κολλήγων αὐτοῦ τῶν κατὰ τὴν Ἀφρικὴν καθεστώτων ἐν πολλοῖς πράγμασιν εὐθύνεσθαι, καὶ τοῦτό μοι βαρὺ σφόδρα δοκεῖ τὸ ἐν ταύταις ταῖς ἐπαρχίαις, ἃς τῇ ἐμῇ καθοσιώσει αὐθαιρέτως ἡ θεία πρόνοια ἐνεχείρισεν κἀκεῖσε πολὺ πλῆθος λαοῦ, ὄχλον ἐπὶ τὸ φαυλότερον ἐπιμένοντα εὑρίσκεσθαι ὡς ἂν εἰ διχοστατοῦντα καὶ μεταξὺ ἐπισκόπους διαφορὰς ἔχειν,

**19** »ἔδοξέ μοι ἵν' αὐτὸς ὁ Καικιλιανὸς μετὰ δέκα ἐπισκόπων τῶν αὐτὸν εὐθύνειν δοκούντων καὶ δέκα ἑτέρων οἷς αὐτὸς τῇ ἑαυτοῦ δίκῃ ἀναγκαίους ὑπολάβοι, εἰς τὴν Ῥώμην πλῷ ἀπιέναι, ἵν' ἐκεῖσε ὑμῶν παρόντων, ἀλλὰ μὴν καὶ Ῥετικίου καὶ Ματέρνου καὶ Μαρίνου, τῶν κολλήγων ὑμῶν, οὓς τούτου ἕνεκεν εἰς τὴν Ῥώμην προσέταξα ἐπισπεῦσαι, δυνηθῇ ἀκουσθῆναι, ὡς ἂν καταμάθοιτε τῷ σεβασμιωτάτῳ νόμῳ ἁρμόττειν.

**20** »ἵνα μέντοι καὶ περὶ πάντων αὐτῶν τούτων πληρεστάτην δυνηθῆτε ἔχειν

[156] Esta carta y las siguientes se han conservado en su texto latino; cf. O. SEECK, *Quellen und Urkunden über die Afänge des Donatismus*: ZKG 10 (1889) 506-568; H. VON SODEN, *Urkunden zur Entstehungsgeschichte des Donatismus* (Bonn 1913); P. LANGA, *Historia del donatismo*, en *Obras completas de San Agustín, XXXII. Escritos Antidonatistas (I)*. Introducción general = BAC, 498 (Madrid 1988) p.IX-XLIV y 1-155.

[157] Oriundo de Africa y obispo de Roma desde el 2 de julio de 311 hasta el 11 de enero de 314, Milcíades (otros le llaman Melquíades) había logrado ya de Majencio la restitución de los bienes eclesiásticos confiscados.

[158] No se ha logrado identificarlo de manera convincente.

[159] Sin duda se refiere al «Libellus Ecclesiae Catholicae criminum Caeciliani» y a las «Praeces ad Constantinum», obra de los partidarios de Mayorino, el obispo rival de Ceciliano; cf. G.-J. HEFELE, *Histoire des Conciles*, t.1, 1.ª (París 1907) p.270-272.

[160] Obispos, respectivamente, de Autún, Tréveris-Colonia y Arlés.

asuntos un conocimiento completísimo, adjunto a mi carta las copias de los documentos que me envió Anulino y se los remito también a vuestros colegas anteriormente citados. Cuando los lea, vuestra firmeza probará de qué manera habrá que examinar con el mayor escrúpulo la susodicha causa y darle fin conforme al derecho, puesto que no se le oculta a vuestro cuidado que estoy dispensando a la legítima Iglesia católica un respeto tan grande que por nada del mundo quiero que permitáis cisma o división en lugar alguno. Que la divinidad del gran Dios os guarde por muchos años, estimadísimo».

## Copia de una carta imperial por la cual manda que se haga un segundo concilio sobre la eliminación de toda división entre los obispos [161]

21 «Constantino Augusto a Cresto, obispo de los siracusanos. Ya en ocasión anterior, cuando algunos, con ánimo vil y perverso, comenzaron a dividirse acerca del culto del santo y celestial poder y de la religión católica, queriendo yo cortar semejantes discusiones entre ellos, dicté unas disposiciones de tal naturaleza que, enviando algunos obispos de la Galia [162] a los de las partes contrarias que luchaban entre sí obstinada y ferozmente, y hallándose también presente el obispo de Roma, aquello que parecía estar en litigio pudie-

γνῶσιν, τὰ ἀντίτυπα τῶν ἐγγράφων τῶν πρός με παρὰ Ἀνυλίνου ἀποσταλέντων γράμμασιν ἐμοῖς ὑποτάξας, πρὸς τοὺς προειρημένους κολλήγας ὑμῶν ἐξέπεμψα· οἷς ἐντυχοῦσα ἡ ὑμετέρα στερρότης δοκιμάσει ὅντινα χρὴ τρόπον τὴν προειρημένην δίκην ἐπιμελέστατα διευκρινῆσαι καὶ κατὰ τὸ δίκαιον τερματίσαι, ὁπότε μηδὲ τὴν ὑμετέραν ἐπιμέλειαν λανθάνει τοσαύτην με αἰδῶ τῇ ἐνθέσμῳ καθολικῇ ἐκκλησίᾳ ἀπονέμειν, ὡς μηδὲν καθόλου σχίσμα ἢ διχοστασίαν ἔν τινι τόπῳ βούλεσθαί με ὑμᾶς καταλιπεῖν. ἡ θειότης ὑμᾶς τοῦ μεγάλου θεοῦ διαφυλάξει πολλοῖς ἔτεσι, τιμιώτατε».

21 ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΠΡΟΣΤΑΤΤΕΙ ΔΕΥΤΕΡΑΝ ΓΕΝΕΣΘΑΙ ΣΥΝΟΔΟΝ ΥΠΕΡ ΤΟΥ ΠΑΣΑΝ ΤΩΝ ΕΠΙΣΚΟΠΩΝ ΠΕΡΙΕΛΕΙΝ ΔΙΧΟΣΤΑΣΙΑΝ

«Κωνσταντῖνος Σεβαστὸς Χρήστῳ ἐπισκόπῳ Συρακουσίων. ἤδη μὲν πρότερον, ὅτε φαύλως καὶ ἐνδιαστρόφως τινὲς περὶ τῆς θρησκείας τῆς ἁγίας καὶ ἐπουρανίου δυνάμεως καὶ τῆς αἱρέσεως τῆς καθολικῆς ἀποδιίστασθαι ἤρξαντο, ἐπιτέμνεσθαι βουληθεὶς τὰς τοιαύτας αὐτῶν φιλονεικίας, οὕτω διατετυπώκειν ὥστε ἀποσταλέντων ἀπὸ τῆς Γαλλίας τινῶν ἐπισκόπων, ἀλλὰ μὴν καὶ τούτων κληθέντων ἀπὸ τῆς Αφρικῆς τῶν ἐξ ἐναντίας μοίρας καταλλήλως, ἐνστατικῶς καὶ ἐπὶ μόνως διαγωνιζομένων παρόντος τε καὶ τοῦ τῆς Ῥώμης ἐπισκόπου, τοῦτο ὅπερ ἐδόκει κεκινῆσθαι, δυνηθῇ ὑπὸ τῆς παρουσίας

[161] Para comprender el alcance de estos documentos en su momento histórico, véase al menos el estudio de conjunto de J. R.-Palanque, *L'affaire donatiste*: A. Fliche-V. Martin, *Histoire de l'Église*, t.3 (1936) p.41-52; W. H. Frend, *The Donatist Church. A Movement of Protest in Roman North Africa* (Oxford 1952, ³1985).
[162] Cf. *supra* § 19.

ra solucionarse por efecto de su presencia unida a un cuidadoso examen.

**22** »Pero lo que ocurre, puesto que algunos, olvidándose de su propia salvación y de la veneración debida a la santísima religión, todavía hoy no cesan de prolongar sus peculiares enemistades y no quieren avenirse a la sentencia ya dictada [163], declarando que, en realidad, solamente algunos pocos aportaron sus propias opiniones y afirmaciones, o incluso que, sin haber sido examinado con exactitud todo lo que debía ser examinado, se apresuraron a emitir el juicio a toda prisa y precipitadamente; de todo ello viene a resultar que los mismos que debieran tener una concordia fraterna y unánime, se han separado unos de otros vergonzosamente, es más, abominablemente, y han dado motivo de mofa a los hombres cuyas almas son ajenas a la santísima religión. De ahí que yo tuviera que tomar providencias para que lo mismo precisamente que debiera haber cesado por libre asentimiento después del juicio ya dictaminado, pueda llegar a un término, al menos ahora, con la presencia de muchos.

**23** »Como quiera, pues, que hemos ordenado a numerosísimos obispos de diferentes e incontables lugares que se reúnan en la ciudad de Arles por las calendas de agosto [164], hemos pensado escribirte también a ti para que tomes del gobernador [165] de Sicilia, el ilustrísimo Latroniano, un vehículo público [166] y, juntando a ti

αὐτῶν μετὰ πάσης ἐπιμελοῦς διακρίσεως κατορθώσεως τυχεῖν.

**22** »ἀλλ' ἐπειδή, ὡς συμβαίνει, ἐπιλαθόμενοί τινες καὶ τῆς σωτηρίας τῆς ἰδίας καὶ τοῦ σεβάσματος τοῦ ὀφειλομένου τῇ ἁγιωτάτῃ αἱρέσει, ἔτι καὶ νῦν τὰς ἰδίας ἔχθρας παρατείνειν οὐ παύονται, μὴ βουλόμενοι τῇ ἤδη ἐξενεχθείσῃ κρίσει συντίθεσθαι καὶ διοριζόμενοι ὅτι δὴ ἄρα ὀλίγοι τινὲς τὰς γνώμας καὶ τὰς ἀποφάσεις ἑαυτῶν ἐξήνεγκαν ἢ καὶ μὴ πρότερον ἁπάντων τῶν ὀφειλόντων ζητηθῆναι ἀκριβῶς ἐξετασθέντων πρὸς τὸ τὴν κρισιν ἐξενέγκαι πάνυ ταχέως καὶ ὀξέως ἔσπευσαν, ἔκ τε τούτων ἁπάντων ἐκεῖνα συμβαίνει γενέσθαι, τό καὶ τούτους αὐτοὺς ἀδελφικὴν καὶ ὁμόφρονα ὀφείλοντας ἔχειν ὁμοψυχίαν αἰσχρῶς, μᾶλλον δὲ μυσερῶς ἀλλήλων ἀποδιεστάναι καὶ τοῖς ἀνθρώποις τοῖς ἀλλοτρίας ἔχουσι τὰς ψυχὰς ἀπὸ τῆς ἁγιωτάτης θρησκείας ταύτης πρόφασιν χλεύης διδόναι, — ὅθεν προνοητέον μοι ἐγένετο, ὅπως τοῦτο ὅπερ ἐχρῆν μετά τὴν ἐξενεχθεῖσαν ἤδη κρίσιν αὐθαιρέτῳ συγκαταθέσει πεπαῦσθαι, κἂν νῦν ποτε δυνηθῇ πολλῶν παρόντων τέλους τυχεῖν.

**23** »ἐπειδὴ τοίνυν πλείστους ἐκ διαφόρων καὶ ἀμυθήτων τόπων ἐπισκόπους εἰς τὴν Ἀρελατησίων πόλιν εἴσω Καλανδῶν Αὐγούστων συνελθεῖν ἐκελεύσαμεν,.καὶ σοὶ γράψαι ἐνομίσαμεν ἵνα λαβὼν παρά τοῦ λαμπροτάτου Λατρωνιανοῦ τοῦ κονρήκτορος Σικελίας δημόσιον ὄχημα, συζεύξας

[163] En Roma, los días 2-4 de octubre de 313; cf. J. R. PALANQUE, o.c., p.45-46.

[164] El 1 de agosto de 314; cf. J. R. PALANQUE o.c., p.46-47.

[165] Eusebio transcribe la palabra latina *corrector*, título que, con el de «praeses» y «iudex», «proconsul», «consularis» se designa en este tiempo a los gobernadores civiles de las provincias pequeñas, tras la reforma de Diocleciano; cf. L. HOMO, *Las instituciones políticas romanas* (Barcelona 1928) p.435.

[166] Sobre el «cursus publicus», cf. D. GORCE, *Les voyages, l'hospitalité et le port des lettres dans le monde chrétien des IVe et Ve siècles* (Paris 1925) p.41-57; E. J. HOLMBERG, *Zur Geschichte des Cursus publicus* (Upsala 1936); W. H. G., *Cursus publicus*, en *Der Kleine Pauly Lexikon der Antike* t.1 (Stuttgart 1964) col. 1346-47.

al menos otros dos del segundo orden [167] que tú mismo tengas a bien escoger, y después de hacerte además con tres criados que puedan serviros por el camino, te presentes ese mismo día en el lugar arriba indicado.

24 »De esta manera, mediante tu firmeza y la comprensión unánime y concorde de los demás reunidos, al ser escuchado todo lo que se dirá de parte de los que ahora están divididos —a los que igualmente he mandado estar presentes—, aquello mismo que por causa de una vergonzosa disputa entre compañeros se ha mantenido hasta ahora de mala manera, podrá, aunque sea lentamente, ser de nuevo conducido a la religión debida, a la fe y a la concordia fraterna.

»Que el Dios todopoderoso te conserve sano por muchos años».

## 6

## Copia de una carta mediante la cual se hace donación de dinero a las iglesias

1 «Constantino Augusto a Ceciliano, obispo de Cartago.

»Puesto que en todas las provincias, particularmente en las Africas, las Numidias y las Mauritanias [168], me plugo que se otorgase algo para sus gastos a algunos ministros señalados de la legítima y santísima religión católica, he despachado una carta para el perfec-

σεαυτῷ καὶ δύο γέ τινας τῶν ἐκ τοῦ δευτέρου θρόνου, οὓς ἂν σὺ αὐτὸς ἐπιλέξασθαι κρίνῃς, ἀλλὰ μὴν καὶ τρεῖς παῖδας τοὺς δυνησομένους ὑμῖν κατὰ τὴν ὁδὸν ὑπηρετήσασθαι παραλαβών, εἴσω τῆς αὐτῆς ἡμέρας ἐπὶ τῷ προειρημένῳ τόπῳ ἀπάντησον,

24 »ὡς ἂν διά τε τῆς σῆς στερρότητος καὶ διὰ τῆς λοιπῆς τῶν συνιόντων ὁμοψύχου καὶ ὁμόφρονος συνέσεως καὶ τοῦτο ὅπερ ἄχρι τοῦ δεῦρο φαύλως δι' αἰσχράς τινας ζυγομαχίας παραμεμένηκεν, ἀκουσθέντων πάντων τῶν μελλόντων λεχθήσεσθαι παρὰ τῶν νῦν ἀπ' ἀλλήλων διεστώτων, οὕσπερ ὁμοίως παρεῖναι ἐκελεύσαμεν, δυνηθῇ εἰς τὴν ὀφειλομένην θρησκείαν καὶ πίστιν ἀδελφικήν τε ὁμόνοιαν κἂν βραδέως ἀνακληθῆναι. ὑγιαίνοντά σε ὁ θεὸς ὁ παντοκράτωρ διαφυλάξει ἐπὶ πολλοῖς ἔτεσιν.»

## Ϛʹ

## ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΧΡΗΜΑΤΑ ΤΑΙΣ ΕΚΚΛΗΣΙΑΙΣ ΔΩΡΕΙΤΑΙ

1 «Κωνσταντῖνος Αὔγουστος Καικιλιανῷ ἐπισκόπῳ Χαρταγένης. ἐπειδήπερ ἤρεσεν κατὰ πάσας ἐπαρχίας, τάς τε Ἀφρικὰς καὶ τὰς Νουμιδίας καὶ τὰς Μαυριτανίας, ῥητοῖς τισι τῶν ὑπηρετῶν τῆς ἐνθέσμου καὶ ἁγιωτάτης καθολικῆς θρησκείας εἰς ἀναλώματα ἐπιχορηγηθῆναί τι, ἔδωκα γράμματα πρὸς Οὖρσον τὸν διασημότατον καθολικὸν τῆς Ἀφρικῆς καὶ ἐδήλωσα αὐτῷ ὅπως τρισχιλίους φόλλεις τῇ σῇ στερρότητι ἀπαριθμῆσαι φροντίσῃ.

[167] Es decir, dos presbíteros; cf. *supra* 4,44.66.

[168] Este uso del plural responde al resultado de la división de la diócesis de Africa en provincias, llevada a cabo por Diocleciano; esas provincias eran: Africa proconsularis o Zeugitana y Byzacena; Numidia Cirtensis y Numidia Militiana o Limitanea; Mauritania Caesariensis y Mauritania Sitigensis.

tísimo Urso, director general de las finanzas de Africa, indicándole que se las arregle para abonar a tu firmeza tres mil *folles* [169].

2 »Tú, por consiguiente, cuando acuses recibo de la indicada cantidad de dinero, manda que este dinero se reparta a todas las personas arriba mencionadas conforme al documento que Osio [170] te ha enviado.

3 »Pero si te enteras de que falta algo para cumplimiento de este mi plan relativo a todos ellos, deberás pedir sin reparo a Heráclides, el procurador de nuestros bienes [171], lo que sepas que es necesario, ya que, hallándose aquí presente, le di órdenes para que se preocupase de pagarte sin la menor vacilación, en el caso de que tu firmeza le pidiese algún dinero.

4 »Y como quiera que tengo informes de que algunos hombres de inconstante pensamiento están queriendo apartar al pueblo de la santísima y católica Iglesia con perverso engaño, sabe que he dado órdenes parecidas al procónsul Anulino [172] y también al vicario de los prefectos, Patricio [173], que se hallaban presentes, para que, entre todo lo demás, dediquen también a esto la debida preocupación y no se permitan el descuidar tal asunto.

5 »Por lo cual, si vieres que algunos hombres así persisten en

2 »σὺ τοίνυν, ἡνίκα τὴν προδηλουμένην ποσότητα τῶν χρημάτων ὑποδεχθῆναι ποιήσεις, ἅπασι τοῖς προειρημένοις κατὰ τὸ βρέουιον τὸ πρὸς σὲ παρὰ Ὁσίου ἀποσταλὲν ταῦτα τὰ χρήματα διαδοθῆναι κέλευσον.

3 »εἰ δ' ἄρα πρὸς τὸ συμπληρωθῆναί μου τὴν εἰς τοῦτο περὶ ἅπαντας αὐτοὺς προαίρεσιν ἐνδεῖν τι καταμάθοις, παρὰ Ἡρακλείδα τοῦ ἐπιτρόπου τῶν ἡμετέρων κτημάτων ἀναμφιλέκτως ὅπερ ἀναγκαῖον εἶναι καταμάθοις, αἰτῆσαι ὀφείλεις. καὶ γὰρ παρόντι αὐτῷ προσέταξα ἵν' εἴ τι ἂν χρημάτων παρ' αὐτοῦ ἡ σὴ στερρότης αἰτήσῃ, ἄνευ δισταγμοῦ τινος ἀπαριθμῆσαι φροντίσῃ.

4 »καὶ ἐπειδὴ ἐπυθόμην τινὰς μὴ καθεστώσης διανοίας τυγχάνοντας ἀνθρώπους τὸν λαόν τῆς ἁγιοτάτης καὶ καθολικῆς ἐκκλησίας φαύλῃ τινὶ ὑπονοθεύσει βούλεσθαι διαστρέφειν, γίνωσκέ με Ἀνυλίνῳ ἀνθυπάτῳ, ἀλλὰ μὴν καὶ Πατρικίῳ τῷ οὐικαρίῳ τῶν ἐπάρχων παροῦσι τοιαύτας ἐντολὰς δεδωκέναι ἵν' ἐν τοῖς λοιποῖς ἅπασι καὶ τούτου μάλιστα τὴν προσήκουσαν φροντίδα ποιήσωνται καὶ μὴ ἀνάσχωνται περιορᾶν τοιοῦτο γινόμενον.

5 »διόπερ εἴ τινας τοιούτους ἀνθρώ-

[169] *Follis* se llamaba a la bolsa para llevar la calderilla; luego pasó a significar una bolsa grande con una cantidad ya determinada de monedas y precintada; en tiempos de Diocleciano recibió tal nombre una moneda de bronce plateado, que éste introdujo, pero cuyo verdadero valor aún no se ha podido fijar con unanimidad; cf. W. SCHWABACHER, *Follis*, en *Lexikon der Alten Welt* (Zurich-Stuttgart 1965) col.989.

[170] Es la primera vez que aparece el nombre de Osio claramente relacionado con Constantino. Nacido muy probablemente en Córdoba hacia el año 256, toma parte ya, como obispo de esa ciudad, en el concilio de Elvira, hacia el año 300. Cuando Constantino escribe esta carta a Ceciliano, Osio forma ya parte de su corte; debieron, por lo tanto, de encontrarse antes de abril de 313. Cf. V. C. DE CLERCQ, *Ossius of Cordoba. A Contribution to the History of the Constantinian Period:* The Cathol. Univ. of America Studies in Christ. Antiquity 13 (Washington, D. C., 1954) 149-150; A. LIPPOLD, *Bischof Ossius von Cordova und Konstantin der Grosse:* ZKG 92 (1981) 1-15.

[171] Es el «procurator rei privatae».

[172] Cf. *supra* 5,15.

[173] Patricio es el vicario de la diócesis de Africa, que, de acuerdo con la reforma administrativa de Diocleciano, depende del prefecto del pretorio de Italia; cf. J. R. PALANQUE, *Essai sur la préfecture du prétoire du Bas-Empire* (Paris 1933).

esta locura, acude sin la menor vacilación a los jueces antedichos y preséntales este asunto para que ellos, como les mandé cuando estaban presentes, los conviertan al buen camino [174].

»Que la divinidad del gran Dios te guarde por muchos años».

# 7

## [De la inmunidad de los clérigos]

### Copia de una carta imperial mediante la cual ordena que los presidentes de las iglesias sean eximidos de toda función pública civil [175]

1 «Salud, estimadísimo Anulino. Como quiera que, por una serie de hechos, aparece que la religión en que se conserva el supremo respeto al santísimo poder del cielo [176], cuando ha sido despreciada, ha sido causa de grandes peligros para los asuntos públicos, y, en cambio, cuando se la ha admitido y se la ha preservado legalmente, ha proporcionado al nombre romano grandísima fortuna y a todos los asuntos de los hombres una prosperidad singular —pues esto es obra de los beneficios divinos—, he decidido, estimadísimo Anulino, que aquellos varones que con la debida santidad y con la familiaridad de esta ley están prestando sus servicios personalmente al culto de la divina religión reciban la recompensa de sus propios trabajos.

πους ἐν αὐτῇ τῇ μανίᾳ ἐπιμένειν κατίδοις, ἄνευ τινός ἀμφιβολίας τοῖς προειρημένοις δικασταῖς πρόσελθε καὶ αὐτὸ τοῦτο προσανένεγκε ὅπως αὐτοὺς ἐκεῖνοι, καθάπερ αὐτοῖς παροῦσιν ἐκέλευσα, ἐπιστρέψωσιν. ἡ θειότης τοῦ μεγάλου θεοῦ σε διαφυλάξει ἐπὶ πολλοῖς ἔτεσιν.»

Ζ'

ΑΝΤΙΓΡΑΦΟΝ ΒΑΣΙΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΔΙ' ΗΣ ΤΟΥΣ ΠΡΟΕΣΤΩΤΑΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ ΠΑΣΗΣ ΑΠΟΛΕΛΥΣΘΑΙ ΤΗΣ ΠΕΡΙ ΤΑ ΠΟΛΙΤΙΚΑ ΛΕΙΤΟΥΡΓΙΑΣ ΠΡΟΣΤΑΤΤΕΙ

1 «Χαῖρε, Ἀνυλῖνε, τιμιώτατε ἡμῖν. ἐπειδὴ ἐκ πλειόνων πραγμάτων φαίνεται παρεξουθενηθεῖσαν τὴν θρησκείαν, ἐν ᾗ ἡ κορυφαία τῆς ἁγιωτάτης ἐπουρανίου αἰδὼς φυλάττεται, μεγάλους κινδύνους ἐνηνοχέναι τοῖς δημοσίοις πράγμασιν αὐτήν τε ταύτην ἐνθέσμως ἀναληφθεῖσαν καὶ φυλαττομένην μεγίστην εὐτυχίαν τῷ Ῥωμαϊκῷ ὀνόματι καὶ σύμπασι τοῖς τῶν ἀνθρώπων πράγμασιν ἐξαίρετον εὐδαιμονίαν παρεσχηκέναι, τῶν θείων εὐεργεσιῶν τοῦτο παρεχουσῶν, ἔδοξεν ἐκείνους τοὺς ἄνδρας τοὺς τῇ ὀφειλομένῃ ἁγιότητι καὶ τῇ τοῦ νόμου τούτου παρεδρίᾳ τὰς ὑπηρεσίας τὰς ἐξ αὐτῶν τῇ τῆς θείας θρησκείας θεραπείᾳ παρέχοντας τῶν καμάτων τῶν ἰδίων τὰ ἔπαθλα κομίσασθαι, Ἀνυλῖνε τιμιώτατε.

[174] Constantino quiere que se meta en vereda a «esos hombres de inconstante pensamiento», pero es ir demasiado lejos pretender que inaugura una persecución contra los donatistas.
[175] Esta carta data de la primavera de 313.
[176] Falta el sustantivo; Wendland, por analogía con la expresión de *supra* 5,21, supone que era δυνάμεως, aunque, como señala Schwartz, bien pudiera ser *divinitatis, veritatis* o *providentiae*.

2 »Por esta razón, aquellos que dentro de la provincia a ti encomendada están prestando personalmente sus servicios a esta santa religión en la Iglesia católica, que está presidida por Ceciliano [177], y los que acostumbran a llamar clérigos [178], quiero que, sin más y una vez por todas, queden exentos de toda función pública civil, no sea que por algún error o por un extravío sacrílego se vean apartados del culto debido a la divinidad; antes bien, estén aún más entregados al servicio de su propia ley sin estorbo alguno, ya que, si ellos rinden a la divinidad la mayor adoración, parece que acarrearán incontables beneficios a los asuntos públicos [179].

»Que tengas salud, mi estimadísimo y muy querido Anulino».

# 8

## [De la ulterior perversidad de Licinio y de su muerte]

1 Tales dones, pues [180], nos concedía la divina y celestial gracia de la manifestación de nuestro Salvador, y tan abundantes eran los bienes que por medio de nuestra paz se otorgaba a todos los hombres. Y de esta manera lo nuestro se celebraba entre regocijos y grandes reuniones festivas.

2 Pero ni la envidia enemiga del bien [181], ni el demonio, amador del mal, podían soportar la contemplación de lo que veían; como

2 »διόπερ ἐκείνους τοὺς εἴσω τῆς ἐπαρχίας τῆς σοι πεπιστευμένης ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ᾗ Καικιλιανὸς ἐφέστηκεν, τὴν ἐξ αὐτῶν ὑπηρεσίαν τῇ ἁγίᾳ ταύτῃ θρησκείᾳ παρέχοντας, οὕσπερ κληρικοὺς ἐπονομάζειν εἰώθασιν, ἀπὸ πάντων ἅπαξ ἁπλῶς τῶν λειτουργιῶν βούλομαι ἀλειτουργήτους διαφυλαχθῆναι, ὅπως μὴ διά τινος πλάνης ἢ ἐξολισθήσεως ἱεροσύλου ἀπὸ τῆς θεραπείας τῆς τῇ θειότητι ὀφειλομένης ἀφέλκωνται, ἀλλὰ μᾶλλον ἄνευ τινὸς ἐνοχλήσεως τῷ ἰδίῳ νόμῳ ἐξυπηρετῶνται, ὧνπερ μεγίστην περὶ τὸ θεῖον λατρείαν ποιουμένων πλεῖστον ὅσον τοῖς κοινοῖς πράγμασι συνοίσειν δοκεῖ. ἔρρωσο, Ἀνυλῖνε, τιμιώτατε καὶ ποθεινότατε ἡμῖν.»

Η΄

1 Τοιαῦτα μὲν οὖν ἡμῖν ἡ θεία καὶ οὐράνιος τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιφανείας ἐδωρεῖτο χάρις, τοσαύτη τε ἅπασιν ἀνθρώποις ἀγαθῶν ἀφθονία διὰ τῆς ἡμετέρας ἐπρυτανεύετο εἰρήνης. καὶ ὧδε μὲν τὰ καθ' ἡμᾶς ἐν εὐφροσύναις καὶ πανηγύρεσιν ἐτελεῖτο·

2 οὐκ ἦν δὲ ἄρα τῷ μισοκάλῳ φθόνῳ τῷ τε φιλοπονήρῳ δαίμονι φορητὸς ἡ τῶν ὁρωμένων θέα, ὥσπερ οὖν οὐδὲ

[177] El sentido más obvio de esta expresión es que los donatistas quedan excluidos, pero no se impone de manera absoluta.

[178] La palabra se utiliza ya como término técnico.

[179] Esta inmunidad o exención de cargos públicos—limitada a Africa—supone una concesión valiosísima, dados los tremendos inconvenientes que llevaban consigo; cf. C. Dupont, *Les privilèges des clercs sous Constantin*: RHE 62 (1967) 729-752.

[180] La ilación se establece con el final del capítulo 4, interrumpida por la inserción de los documentos citados en los capítulos 5-7.

[181] A partir de este párrafo 2, el contenido del presente capítulo y del siguiente se halla repetido, aunque en forma diferente, y en orden a veces distinto, en VC 1,49-56; 2.1-3.19-20.

tampoco a Licinio le resultó suficiente para un cálculo prudente lo sucedido a los tiranos anteriormente mencionados [182]. El que había sido considerado digno de un gobierno bien próspero, digno del honor del segundo puesto después del gran emperador Constantino y digno de afinidad y parentesco del más alto grado, se iba alejando de la imitación de los buenos y, en cambio, emulaba la perversidad y malicia de los impíos tiranos. Y aunque vio además con sus propios ojos el final catastrófico de éstos, prefirió seguirles en su sentir a permanecer en la amistad y buena disposición de su superior.

3 Presa de la envidia hacia el bienhechor universal, provoca contra él una guerra execrable y terribilísima, sin respeto por las leyes de la naturaleza y sin traer a las mientes el recuerdo de los juramentos, de la sangre y de los pactos.

4 Efectivamente, ¡qué señales de verdadera benevolencia no le había otorgado el buenísimo del emperador! No le escatimó su parentesco ni le negó espléndidas nupcias con su hermana [183], antes bien, incluso le consideró digno de compartir su nobleza, que le venía de sus padres, y su sangre imperial ancestral, y también le había proporcionado el poder disfrutar del gobierno supremo como cuñado y coemperador, puesto que le había hecho gracia de una parte no menor de pueblos sujetos a Roma, para que los gobernase y administrase [184].

5 Pero él, al revés, obraba contrariamente a esto y cada día

Λικιννίῳ πρὸς σώφρονα λογισμὸν ἐτύγχανεν αὐτάρκη τὰ τοῖς πρόσθεν δεδηλωμένοις τυράννοις συμβεβηκότα· ὃς εὖ φερομένης τῆς ἀρχῆς αὐτῷ βασιλέως τε μεγάλου Κωνσταντίνου δευτερείων τιμῆς ἐπιγαμβρίας τε καὶ συγγενείας τῆς ἀνωτάτω ἠξιωμένος, μιμήσεως μὲν τῆς τῶν καλῶν ἀπελιμπάνετο, τῆς δὲ τῶν ἀσεβῶν τυράννων μοχθηρίας ἐζήλου τὴν κακοτροπίαν, καὶ ὧν τοῦ βίου τὴν καταστροφὴν ἐπεῖδεν αὐτοῖς ὀφθαλμοῖς τούτων ἕπεσθαι τῇ γνώμῃ μᾶλλον ἢ τῇ τοῦ κρείττονος ἐμμένειν φιλίᾳ τε καὶ διαθέσει ᾑρεῖτο.

3 διαφθονηθεὶς γέ τοι τῷ πανευεργέτῃ, πόλεμον δυσαγῆ καὶ δεινότατον πρὸς αὐτὸν ἐκφέρει, οὐ φύσεως νόμων φεισάμενος, οὐχ ὁρκωμοσιῶν οὐχ αἵματος οὐ συνθηκῶν μνήμην ἐν διανοίᾳ λαβών.

4 ὁ μὲν γὰρ αὐτῷ οἷα πανάγαθος βασιλεὺς εὐνοίας παρέχων ἀληθοῦς σύμβολα, συγγενείας τῆς πρὸς αὐτὸν οὐκ ἐφθόνησεν γάμων τε λαμπρῶν ἀδελφῆς μετουσίαν οὐκ ἀπηρνήσατο, ἀλλὰ καὶ τῆς ἐκ πατέρων εὐγενείας βασιλικοῦ τε ἀνέκαθεν αἵματος κοινωνὸν γενέσθαι ἠξίωσεν τῆς τε κατὰ πάντων ἀπολαύειν ἀρχῆς οἷα κηδεστῇ καὶ συμβασιλεῖ παρεῖχεν τὴν ἐξουσίαν, οὐκ ἔλαττον μέρος τῶν ὑπὸ Ῥωμαίους ἐθνῶν διέπειν αὐτῷ καὶ διοικεῖν κεχαρισμένος.

5 ὁ δ' ἔμπαλιν τούτοις τἀναντία

182 Majencio y Maximino.

183 El enlace tuvo lugar en Milán, en febrero de 313.

184 Licinio, contrariamente a lo que parece indicar Eusebio, no debía el imperio a Constantino, sino a Galerio, que, de acuerdo con Diocleciano y Maximiano, reunidos en Carnuntum en noviembre de 308, le habían hecho augusto, mientras a Constantino sólo le reconocían el título de césar. Eusebio debe de referirse más bien a la condescendencia de Constantino para con Licinio al hacer las paces después de la intentona de éste contra él en septiembre u octubre de 314, según la cronología tradicional; o a finales de 316 o comienzos del 317, según la propuesta por P. Bruun (*The Constantinian coinage of Arelate* [Helsinki 1953] p.15ss) y Ch. Habicht (*Zur Geschichte des Kaisers Konstantin*: Hermaes 86 [1958] 360-378).

imaginaba intrigas contra su superior e imaginaba todo género de conspiraciones, como si respondiera con males a su bienhechor. Así es que, en primer lugar, trataba de ocultar sus preparativos fingiendo ser amigo, y aplicándose a la astucia y al engaño, esperaba alcanzar con toda facilidad el resultado apetecido.

6 Pero es de saber que aquél [185] tenía a Dios por amigo, protector y guardián, quien, sacando a la luz las conspiraciones urdidas contra él en secreto y en la sombra [186], las iba desbaratando. ¡Tan grande fuerza y virtud tiene el arma de la piedad para rechazar a los enemigos y preservar la propia salvación! Guarnecido con ella nuestro emperador, amadísimo de Dios, iba esquivando las conspiraciones del infame astuto.

7 Este, por su parte, cuando vio que su oculto preparativo en modo alguno marchaba conforme a sus designios, ya que Dios iba manifestando a su amado emperador todo engaño y toda maldad, y no pudiendo ya disimular por más tiempo, declaró abiertamente la guerra.

8 Decidido, efectivamente, a hacer la guerra en contra de Constantino, ya se apresuraba a formar sus tropas también contra el Dios del universo, a quien sabía que aquél honraba, y en seguida se puso a atacar—moderada y silenciosamente al principio—a sus propios súbditos adoradores de Dios, que jamás habían causado la más mínima molestia a su gobierno. Y obraba así porque su innata maldad le forzaba a una terrible ceguera.

9 Es el caso que no tenía ante sus ojos el recuerdo de los que

διεπράττετο, παντοίας ὁσημέραι κατὰ τοῦ κρείττονος μηχανὰς ἐπιτεχνώμενος πάντας τε ἐπινοῶν ἐπιβουλῆς τρόπους, ὡς ἂν κακοῖς τὸν εὐεργέτην ἀμείψοιτο. τὰ μὲν οὖν πρῶτα πειρώμενος τὴν συσκευὴν ἐπικρύπτειν, φίλος εἶναι προσεποιεῖτο, δόλῳ τε καὶ ἀπάτῃ πλειστάκις ἐπιθέμενος ῥᾷστα ἂν τυχεῖν τοῦ προσδοκωμένου ἤλπισεν·

6 τῷ δὲ ἄρα ὁ θεὸς ἦν φίλος κηδεμών τε καὶ φύλαξ, ὃς αὐτῷ τὰς ἐν ἀπορρήτῳ καὶ σκότει μηχανωμένας ἐπιβουλὰς εἰς φῶς ἄγων διήλεγχεν. τοσοῦτον ἀρετῆς τὸ μέγα τῆς θεοσεβείας ὅπλον πρὸς ἄμυναν μὲν ἐχθρῶν, οἰκείας δὲ φυλακὴν σωτηρίας ἰσχύει· ᾧ δὴ πεφραγμένος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς τὰς τοῦ δυσωνύμου πολυπλόκους ἐπιβουλὰς διεδίδρασκεν.

7 ὁ δὲ τὴν λαθραίαν συσκευὴν ὡς οὐδαμῶς ἑώρα κατὰ γνώμην αὐτῷ χωροῦσαν, τοῦ θεοῦ πάντα δόλον τε καὶ ῥᾳδιουργίαν τῷ θεοφιλεῖ βασιλεῖ κατάφωρα ποιοῦντος, οὐκέθ' οἷός τε ὢν ἐπικρύπτεσθαι, προφανῆ πόλεμον αἴρεται.

8 ὁμόσε δῆτα Κωνσταντίνῳ πολεμεῖν διαγνούς, ἤδη καὶ κατὰ τοῦ θεοῦ τῶν ὅλων, ὃν ἠπίστατο σέβειν αὐτόν, παρατάττεσθαι ὡρμᾶτο, κἄπειτα τοὺς ὑπ' αὐτῷ θεοσεβεῖς, μηδὲν μηδ' ὅλως πώποτε τὴν ἀρχὴν αὐτοῦ λυπηρὸν διαθεμένους, ἠρέμα τέως καὶ ἡσυχῇ πολιορκεῖν ἐπεβάλλετο. καὶ τοῦτ' ἔπραττεν, δεινῶς ἀβλεπτεῖν ὑπὸ τῆς ἐμφύτου κακίας ἠναγκασμένος.

9 οὔτ' οὖν τὴν μνήμην τῶν πρὸ αὐτοῦ Χριστιανοὺς ἐκδιωξάντων πρὸ ὀφθαλμῶν ἔθετο οὐδ' ὧν αὐτὸς ὀλετὴρ καὶ

[185] Constantino.
[186] Cf. Ef 5,11-13.

habían perseguido a los cristianos antes que él, ni siquiera el de aquellos de quienes él mismo había sido instrumento de ruina y de castigo por las impiedades en que habían tomado parte. Por el contrario, volviendo la espalda a un prudente razonamiento, es más, en términos exactos, trastornado por la locura, tenía decidido hacer la guerra al mismo Dios, como protector de Constantino, en vez de al protegido.

10 En primer lugar, expulsó de su propia casa a todos los que eran cristianos, con lo cual el desgraciado se privó a sí mismo de la oración de éstos por él, oración que acostumbran a hacer por todos, según enseñanza ancestral [187]; pero luego fue dando órdenes de que en cada ciudad se separase y se degradase a los soldados que no escogieran el sacrificar a los demonios [188].

Y aun esto era poca cosa si lo juzgamos comparándolo con las medidas mayores.

11 ¿Qué necesidad hay de recordar una por una y sucesivamente las cosas que este enemigo de Dios perpetró y cómo siendo el mayor violador de las leyes inventó leyes ilegales? [189] Por lo menos es cierto que impuso la ley de que nadie tuviese la humanidad de repartir alimentos a los que penaban en las cárceles, que nadie compadeciera a los que padeciesen de hambre en las prisiones y, en una palabra, que nadie fuese bueno ni obrase el bien más pequeño, ni siquiera aquellos que por su misma naturaleza se dejan arrastrar a la compasión de sus prójimos. Esta ley era, evidentemente, la más desvergonzada y la más cruel de todas, ya que pasaba por encima

τιμωρὸς δι' ἃς μετῆλθον ἀσεβείας κατέστη· ἀλλὰ γὰρ τοῦ σώφρονος ἐκτραπεὶς λογισμοῦ, διαρρήδην δὲ μανεὶς τὰς φρένας, τὸν θεὸν αὐτὸν οἷα δὴ Κωνσταντίνου βοηθὸν ἀντὶ τοῦ βοηθουμένου πολεμεῖν ἐγνώκει.

**10** καὶ πρῶτα μὲν τῆς οἰκίας τῆς αὐτοῦ πάντα Χριστιανὸν ἀπελαύνει, ἔρημον αὐτὸς αὐτὸν ὁ δείλαιος τῆς τούτων καθιστὰς ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν εὐχῆς, ἣν ὑπὲρ ἁπάντων αὐτοῖς ποιεῖσθαι πάτριον μάθημα τυγχάνει· εἶτα δὲ τοὺς κατὰ πόλιν στρατιώτας ἐκκρίνεσθαι καὶ ἀποβάλλεσθαι τοῦ τῆς τιμῆς ἀξιώματος, εἰ μὴ τοῖς δαίμοσιν θύειν αἱροῖντο, παρακελεύεται. καὶ ἔτι γε ταῦτα ἦν μικρά, τῇ τῶν μειζόνων συγκρινόμενα παραθέσει.

**11** τί δεῖ τῶν καθ' ἕκαστα καὶ κατὰ μέρος τῷ θεομισεῖ πεπραγμένων μνημονεύειν ὅπως τε νόμους ἀνόμους ὁ παρανομώτατος ἐξεῦρεν; τούς γέ τοι ἐν ταῖς εἱρκταῖς ταλαιπωρουμένους ἐνομοθέτει μηδένα μεταδόσει τροφῆς φιλανθρωπεύεσθαι μηδ' ἐλεεῖν τοὺς ἐν δεσμοῖς λιμῷ διαφθειρομένους μηδ' ἁπλῶς ἀγαθὸν εἶναι μηδένα μηδ' ἀγαθόν τι πράττειν τοὺς καὶ πρὸς αὐτῆς τῆς φύσεως ἐπὶ τὸ συμπαθὲς τῶν πέλας ἑλκομένους. καὶ ἦν γε νόμων οὗτος ἄντικρυς ἀναιδὴς καὶ ἀπηνέστατος, πᾶσαν ἥμερον ὑπερεξάγων φύσιν,

187 Cf. 1 Tim 2,1-2.

188 El móvil de esta persecución parece más bien político. Determinado a levantarse un día contra Constantino, tenía que eliminar el obstáculo que para él eran los cristianos. Comenzó por los de palacio, que podían descubrir sus intenciones y delatarle, y por los militares, especialmente los de graduación. Debió de comenzar con estas tropelías el año 320; cf. M. Fortina, *La politica religiosa dell'imperatore Licinio:* Rivista di studi classici 7 (1959) 245-265; 8 (1960) 3-23.

189 En realidad, estas leyes no estaban hechas directamente contra los cristianos, aunque éstos resultaban luego los más afectados.

de toda naturaleza civilizada y contenía además como castigo el que los compasivos sufrieran las mismas penas que sus compadecidos y que serían encadenados y encarcelados los que prestasen servicios humanitarios a los condenados, sufriendo el mismo castigo que ellos.

12 Tales eran los mandatos de Licinio. ¿Qué necesidad tenemos de enumerar detalladamente sus innovaciones acerca de las nupcias o sus disposiciones revolucionarias respecto a los que dejan esta vida? Se atrevió a abolir las antiguas leyes romanas, recta y sabiamente establecidas, e introdujo en vez de ellas algunas bárbaras e incivilizadas leyes, verdaderamente ilegales y en contra de las leyes. Ideaba además innumerables acusaciones contra las naciones sometidas, toda clase de exacciones de oro y plata, nuevos catastros y lucrativas multas a hombres que ya no estaban en los campos, sino que habían muerto hacía tiempo [190].

13 ¿Y qué clase de destierros no inventó además el enemigo de los hombres contra gentes que ningún daño le habían hecho? ¿Y las detenciones de hombres nobles y notables de quienes separaba a sus legítimas esposas y las entregaba a algunos criados lascivos para que las ultrajasen con sus torpezas? Y él mismo, un vejestorio [191], ¿a cuántas mujeres casadas y a cuántas doncellas no vejó para satisfacer la pasión desenfrenada de su alma? ¿Qué necesidad tenemos de alargar la cuenta, si el exceso de sus últimas fechorías deja a las primeras pequeñas y reducidas a casi nada?

14 Lo cierto es que, en el colmo de su locura, procedió contra los obispos. Por creer que éstos, en cuanto servidores del Dios su-

ἐφ' ᾧ καὶ τιμωρία προσέκειτο τοὺς ἐλεοῦντας τὰ ἴσα πάσχειν τοῖς ἐλεουμένοις δεσμοῖς τε καὶ φυλακαῖς καθείργνυσθαι, τὴν ἴσην τοῖς καταπονουμένοις ὑπομένοντας τιμωρίαν, τοὺς τὰ φιλάνθρωπα διακονουμένους. τοιαῦται αἱ Λικιννίου διατάξεις.

**12** τί χρὴ τὰς περὶ γάμων καινοτομίας ἀπαριθμεῖσθαι ἢ τοὺς ἐπὶ τοῖς τὸν βίον μεταλλάττουσιν νεωτερισμοὺς αὐτοῦ, δι' ὧν τοὺς παλαιοὺς Ῥωμαίων εὖ καὶ σοφῶς κειμένους νόμους περιγράψαι τολμήσας, βαρβάρους τινὰς καὶ ἀνημέρους ἀντεισῆγεν, νόμους ἀνόμους ὡς ἀληθῶς καὶ παρανόμους, ἐπισκήψεις τε μυρίας κατὰ τῶν ὑποχειρίων ἐθνῶν ἐπενόει χρυσοῦ τε καὶ ἀργύρου παντοίας εἰσπράξεις ἀναμετρήσεις τε γῆς καὶ τῶν κατ' ἀγροὺς μηκέτ' ὄντων ἀνθρώπων πρόπαλαι δὲ κατοιχομένων ἐπιζήμιον κέρδος,

**13** οἵους δ' ἐφεῦρεν ἐπὶ τούτοις ὁ μισάνθρωπος κατὰ μηδὲν ἠδικηκότων ἐξορισμούς, οἵας εὐπατριδῶν καὶ ἀξιολόγων ἀνδρῶν ἀπαγωγάς, ὧν δὴ τὰς κουριδίας ἀποζευγνὺς γαμετὰς μιαροῖς τισιν οἰκέταις ἐφ' ὕβρει πράξεως αἰσχρᾶς παρεδίδου, ὅσαις δὲ αὐτὸς ὁ ἐσχατόγηρως γυναιξὶν ὑπάνδροις παρθένοις τε κόραις ἐμπαροινῶν τὴν ἀκόλαστον τῆς αὐτοῦ ψυχῆς ἐπιθυμίαν ἐπλήρου — τί χρὴ ταῦτα μηκύνειν, τῆς τῶν ἐσχάτων αὐτοῦ πράξεων ὑπερβολῆς μικρὰ τὰ πρῶτα καὶ τὸ μηθὲν εἶναι διελεγχούσης;

**14** τὸ γοῦν τέλος αὐτῷ τῆς μανίας ἐπὶ τοὺς ἐπισκόπους ἐχώρει, ἤδη τε τούτους, ὡς ἂν τοῦ ἐπὶ πάντων θεοῦ θεράποντας, ἐναντίους ὑπάρχειν οἷς ἔδρα

190 Cf. A. VICTOR, *Epitome* 41,8.
191 Si cuando murió, en 325, Licinio tenía unos sesenta años, según A. Victor (*Epit.* 41,8) —quizás algunos más—, al comenzar la persecución andaría por los cincuenta y cinco pasados.

premo, eran ya contrarios a lo que él hacía, iba urdiendo sus preparativos, no todavía a plena luz, por miedo al más fuerte [192], pero sí ocultamente y con alevosía, y de ellos iba eliminando a los más conspicuos valiéndose de la confabulación de los gobernadores [193]. Y el género de muerte usado contra ellos era muy extraño e inaudito hasta entonces.

15 Lo cierto es que lo realizado en torno a Amasia [194] y las demás ciudades del Ponto superó a todo exceso de crueldad. Allí, de las iglesias de Dios, unas las habían de nuevo arrasado por completo, y otras las habían cerrado para que nadie concurriese a ellas según costumbre ni ofreciesen a Dios los cultos debidos [195].

16 Efectivamente, por calcular esto con su mala conciencia, no creía que tuviesen lugar oraciones por él, antes bien, estaba persuadido de que nosotros hacíamos todo y aplacábamos a Dios en favor del emperador amigo de Dios [196]. Desde entonces, comenzó a hacer caer su furor sobre nosotros.

17 Así fue. Los gobernadores aduladores, persuadidos de que obraban lo que le gustaba al infame, abrumaban a algunos obispos con los castigos habitualmente reservados a los malhechores, y de esta suerte se detenía y se castigaba sin pretexto alguno, lo mismo que a homicidas, a los que nada malo habían hecho. Otros sufrieron un nuevo género de muerte: descuartizados sus cuerpos con una espada en muchos pedazos, tras este cruel y espeluznante espectáculo, se los arrojaba al profundo del mar para pasto de los peces.

ἡγούμενος, οὔπω μὲν ἐκ τοῦ φανεροῦ διὰ τὸν ἀπὸ τοῦ κρείττονος φόβον, λάθρα δὲ αὖθις καὶ δολίως συνεσκευάζετο, ἀνῄρει τε τούτων δι' ἐπιβουλῆς τῶν ἡγεμόνων τοὺς δοκιμωτάτους. καὶ ὁ τρόπος δὲ τοῦ κατ' αὐτῶν φόνου ξένος τις ἦν καὶ οἷος οὐδεπώποτε ἠκούσθη.

15 τὰ γοῦν ἀμφὶ τὴν Ἀμάσειαν καὶ τὰς λοιπὰς τοῦ Πόντου πόλεις κατεργασθέντα πᾶσαν ὑπερβολὴν ὠμότητος ὑπερηκόντισεν· ἔνθα τῶν ἐκκλησιῶν τοῦ θεοῦ αἳ μὲν ἐξ ὕψους εἰς ἔδαφος αὖθις κατερρίπτοντο, τὰς δὲ ἀπέκλειον, ὡς ἂν μή συνάγοιτό τις τῶν εἰωθότων μηδὲ τῷ θεῷ τὰς ἐποφειλομένας ἀποδιδῷ λατρείας.

16 συντελεῖσθαι γὰρ οὐχ ἡγεῖτο ὑπὲρ αὐτοῦ τὰς εὐχάς, συνειδότι φαύλῳ τοῦτο λογιζόμενος, ἀλλ' ὑπὲρ τοῦ θεοφιλοῦς βασιλέως πάντα πράττειν ἡμᾶς καὶ τὸν θεὸν ἱλεοῦσθαι πέπειστο· ἔνθεν ὡρμᾶτο καθ' ἡμῶν τὸν θυμὸν ἐπισκήπτειν.

17 καὶ δῆτα τῶν ἡγεμόνων οἱ κόλακες, τὰ φίλα πράττειν τῷ δυσαγεῖ πεπεισμένοι, τῶν ἐπισκόπων τοὺς μὲν συνήθως ταῖς τῶν κακούργων ἀνδρῶν περιέβαλλον τιμωρίαις, ἀπήγοντό τε καὶ ἐκολάζοντο ἀπροφασίστως τοῖς μιαιφόνοις ὁμοίως οἱ μηδὲν ἠδικηκότες· ἤδη δέ τινες καινοτέραν ὑπέμενον τελευτήν, ξίφει τὸ σῶμα εἰς πολλὰ τμήματα κατακρεουργούμενοι καὶ μετὰ τὴν ἀπηνῆ ταύτην καὶ φρικτοτάτην θέαν τοῖς τῆς θαλάσσης βυθοῖς ἰχθύσιν εἰς βορὰν ῥιπτούμενοι.

192 Esto es, por miedo a Constantino.

193 Se fingían pretextos que justificasen legalmente las muertes, lo que indica que no hubo edicto contra los jerarcas eclesiásticos.

194 Eusebio (*Chronic. ad annum* 320: HELM, p.230) cita expresamente a Basilio, obispo de Amasia del Ponto.

195 Cf. EUSEBIO, VC 2,2.

196 Es decir, en favor de Constantino, lo que Licinio podía interpretar como peligroso: temía que evolucionase en conspiración.

18 Ante estos hechos se reanudaron las huidas de los hombres piadosos, y nuevamente los campos, los valles solitarios y los montes comenzaron a acoger a los siervos de Cristo. Y como quiera que de esta manera el impío tenía éxito en estas medidas, entonces llegó incluso a concebir la idea de resucitar la persecución contra todos[197].

19 Su pensamiento se iba reafirmando y nada le impedía el ponerlo por obra, si el Dios que lucha en favor de las almas que le pertenecen, previendo lo que iba a suceder, no hubiera rápidamente hecho brillar, como en tiniebla profunda y noche oscurísima, una gran lumbrera y a la vez un salvador para todos: su siervo Constantino, a quien llevó de la mano para esta empresa *con brazo enhiesto*[198].

## 9

### [De la victoria de Constantino y de lo que éste procuró a los súbditos del poder romano]

1 A éste, por consiguiente, fue a quien Dios otorgó desde arriba, como fruto digno de su piedad, el trofeo de la victoria contra los impíos. En cambio, al criminal[199] lo precipitó con todos sus consejeros y amigos a los pies de Constantino.

2 Efectivamente, habiendo hecho aquél avanzar sus empresas hasta extremos de locura, el emperador amigo de Dios concluyó que ya era insoportable. Haciendo acopio de su cálculo prudente y mezclando a su humanidad la firmeza del juez, decide acudir en socorro

**18** φυγαὶ δὴ αὖθις ἐπὶ τούτοις τῶν θεοσεβῶν ἐγίνοντο ἀνδρῶν, καὶ πάλιν ἀγροὶ καὶ πάλιν ἐρημίαι νάπαι τε καὶ ὄρη τοὺς Χριστοῦ θεράποντας ὑπεδέχοντο. ἐπεὶ δὲ καὶ ταῦτα τοῦτον προυχώρει τῷ δυσσεβεῖ τὸν τρόπον, λοιπὸν καὶ τὸν κατὰ πάντων ἀνακινεῖν διωγμὸν ἐπὶ διάνοιαν ἐβάλλετο,

**19** ἐκράτει τε γνώμης καὶ οὐδὲν ἐμποδὼν ἦν αὐτῷ μὴ οὐχὶ ἐν ἔργῳ χωρεῖν, εἰ μὴ τάχιστα τὸ μέλλον ἔσεσθαι προλαβὼν ὁ τῶν οἰκείων ψυχῶν ὑπέρμαχος θεὸς ὡς ἐν βαθεῖ σκότῳ καὶ νυκτὶ ζοφωδεστάτῃ φωστῆρα μέγαν ἀθρόως καὶ σωτῆρα τοῖς πᾶσιν ἐξέλαμψεν, τὸν αὐτοῦ θεράποντα Κωνσταντῖνον ὑψηλῷ βραχίονι ἐπὶ τὰ τῇδε χειραγωγήσας.

Θ'

**1** τούτῳ μὲν οὖν ἄνωθεν ἐξ οὐρανοῦ καρπὸν εὐσεβείας ἐπάξιον τὰ τρόπαια τῆς κατὰ τῶν ἀσεβῶν παρεῖχε νίκης, τὸν δ' ἀλιτήριον αὐτοῖς συμβούλοις ἅπασιν καὶ φίλοις ὑπὸ τοῖς Κωνσταντίνου ποσὶν πρηνῆ κατέβαλεν.

**2** ὡς γὰρ εἰς ἔσχατα μανίας τὰ κατ' αὐτὸν ἤλαυνεν, οὐκέτ' ἀνεκτὸν εἶναι λογισάμενος βασιλεὺς ὁ τῷ θεῷ φίλος τὸν σώφρονα συναγαγὼν λογισμὸν καὶ τὸν στερρὸν τοῦ δικαίου τρόπον φιλανθρω-

